MASTER
NEGATIVE
NO. 93-81292-17

AUTHOR:

ISOCRATES

TITLE:

ISOCRATE, CONSEILS A DEMONIQUE

PLACE:

PARIS

DATE:

1843

Master Negative #
93-81292-17

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

Ad Demonicum 1843
Gr. & Fr.

Isocrates.

... Isocrate, Conseils à Démonique. Paris, Hachette, 1843.

51 p. 19½ cm. (Les auteurs grecs expliqués d'après une méthode nouvelle par deux traductions françaises ... par une société de professeurs et d'Hellénistes)

"Ces Conseils à Démonique ont été expliqués, traduits et annotés par M. C. Leprévost ..."

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35 mm REDUCTION RATIO: 11x
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 4/16/93 INITIALS BAP
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

BIBLIOGRAPHIC IRREGULARITIES

MAIN ENTRY: ISOCRATES

Bibliographic Irregularities in the Original Document

List volumes and pages affected; include name of institution if filming borrowed text.

_____ Page(s) missing/not available: __________

_____ Volumes(s) missing/not available: __________

_____ Illegible and/or damaged page(s): PGS 44-51 STAINED

_____ Page(s) or volumes(s) misnumbered: __________

_____ Bound out of sequence: __________

_____ Page(s) or illustration(s) filmed from copy borrowed from: BEST COPY

_____ Other: ILL SEARCH EXHAUSTED


BEST COPY AVAILABLE





AIIM

Association for Information and Image Management


1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910
301/587-8202








MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.


Isocrates
Conseils à Démonique
88 Is4
QE43



LES

AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

Ces *Conseils à Démonique* ont été expliqués, traduits et annotés par M. C. Leprévost, professeur au Collége royal de Bourbon.

Paris.— Typographie de Firmin Didot Frères, rue Jacob, 56.

LES

AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

L'UNE LITTÉRALE ET JUXTALINÉAIRE PRÉSENTANT LE MOT A MOT FRANÇAIS EN REGARD DES MOTS GRECS CORRESPONDANTS
L'AUTRE CORRECTE ET FIDÈLE PRÉCÉDÉE DU TEXTE

avec des sommaires et des notes

PAR UNE SOCIÉTÉ DE PROFESSEURS

ET D'HELLÉNISTES

ISOCRATE

CONSEILS A DÉMONIQUE

PARIS

LIBRAIRIE DE L. HACHETTE

RUE PIERRE-SARRAZIN, N° 12

1843

ARGUMENT ANALYTIQUE

DES CONSEILS A DÉMONIQUE.

Exorde. — Motifs qui ont déterminé l'auteur à dédier son livre à Démonique. — Mieux vaut apprendre aux jeunes gens à bien vivre, qu'à bien dire. — Objet de ce traité. — Excellence de la vertu : par elle, Hercule et Thésée sont parvenus à l'immortalité. — Isocrate propose à Démonique l'exemple de son père Hipponique.

Préceptes. — Le culte des dieux. — La piété filiale. — Modération. — Vertus qui conviennent aux jeunes gens. — La voix de la conscience. — Devoirs de l'homme envers les dieux ; envers ses parents ; envers ses amis ; envers les lois. — Quels plaisirs il faut rechercher. — Soin qu'il faut prendre de sa réputation. — Méthode pour apprendre beaucoup de choses. — Affabilité et politesse. — Exercer ses forces par le travail. — Maîtriser ses passions. — Discrétion, inviolabilité du secret. — Quel usage il faut faire du serment. — Comment il faut se faire des amis, les éprouver, les conserver. — Convenances de toilette. — Savoir jouir et se servir de ses biens. — Ne reprocher à personne son malheur. — Où il faut adresser ses bienfaits. — Se bien garder des flatteurs. — Convenances de société. — Éviter la compagnie des buveurs. — Savoir-vivre et bonté. — Comment on se concilie l'affection des autres. — Délibérer d'abord, exécuter ensuite. — Imiter les rois, et leur obéir. — Manière dont il faut s'acquitter des fonctions publiques. — Supériorité dans l'égalité. — La vertu avant l'argent. — Exercer ses forces, mais surtout son intelligence. — L'honneur avant tout, même avant la vie.

Épilogue. — L'auteur justifie le soin qu'il a pris de donner à son jeune ami, bien des conseils qu'il ne pourra pratiquer que plus tard. — Éloge du goût de Démonique pour tout ce qui est bien. — Les jouissances de la vertu sont les seules réelles. — Dispositions des dieux à l'égard des bons et des méchants, d'après les peines et les récompenses, par lesquelles ils ont reconnu les crimes ou les vertus de leurs propres enfants. — Il faut puiser partout de bons principes.

ARGUMENT ANALYTIQUE

DES CONSEILS A DÉMONIQUE.

Exorde. — Motifs qui ont déterminé l'auteur à dédier son livre à Démonique. — Mieux vaut apprendre aux jeunes gens à bien vivre, qu'à bien dire. — Objet de ce traité. — Excellence de la vertu : par elle, Hercule et Thésée sont parvenus à l'immortalité.— Isocrate propose à Démonique l'exemple de son père Hipponique.

Préceptes. — Le culte des dieux. — La piété filiale. — Modération. —Vertus qui conviennent aux jeunes gens.—La voix de la conscience. — Devoirs de l'homme envers les dieux ; envers ses parents ; envers ses amis ; envers les lois. — Quels plaisirs il faut rechercher. — Soin qu'il faut prendre de sa réputation. — Méthode pour apprendre beaucoup de choses. — Affabilité et politesse. — Exercer ses forces par le travail. — Maîtriser ses passions. — Discrétion, inviolabilité du secret. — Quel usage il faut faire du serment. — Comment il faut se faire des amis, les éprouver, les conserver. — Convenances de toilette. — Savoir jouir et se servir de ses biens. — Ne reprocher à personne son malheur. — Où il faut adresser ses bienfaits. — Se bien garder des flatteurs. — Convenances de société. — Éviter la compagnie des buveurs. — Savoir-vivre et bonté. — Comment on se concilie l'affection des autres. — Délibérer d'abord, exécuter ensuite. — Imiter les rois, et leur obéir. — Manière dont il faut s'acquitter des fonctions publiques. — Supériorité dans l'égalité. — La vertu avant l'argent. — Exercer ses forces, mais surtout son intelligence. — L'honneur avant tout, même avant la vie.

Épilogue. — L'auteur justifie le soin qu'il a pris de donner à son jeune ami, bien des conseils qu'il ne pourra pratiquer que plus tard. — Éloge du goût de Démonique pour tout ce qui est bien. — Les jouissances de la vertu sont les seules réelles. — Dispositions des dieux à l'égard des bons et des méchants, d'après les peines et les récompenses, par lesquelles ils ont reconnu les crimes ou les vertus de leurs propres enfants. — Il faut puiser partout de bons principes.

ΙΣΟΚΡΑΤΟΥΣ

ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ

ΠΑΡΑΙΝΕΣΙΣ.

1. Ἐν πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις. Οἱ μὲν γὰρ τοὺς φίλους, παρόντας μόνον, τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι. Καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε· τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν.

2. Ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους καὶ παιδείας ἀντιποιουμένους, τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητὰς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον

1. En maintes circonstances, Démonique, nous trouverons une grande différence entre les principes des hommes sérieux et les sentiments des gens frivoles; mais c'est surtout dans leurs rapports entre eux qu'éclate cette différence : ceux-ci, en effet, ne songent à leurs amis que lorsqu'ils sont là, tandis que les autres les aiment toujours, nonobstant la distance; puis il suffit d'un peu de temps pour rompre les liaisons du vulgaire. Mais l'amitié des hommes sérieux, c'est pour la vie.

2. Dans la pensée donc que tout homme, qui vise à la considération et qui cherche à s'instruire, doit s'attacher aux bons exemples et fuir les mauvais; je t'offre ce traité, comme gage de l'affection que je te

CONSEILS

D'ISOCRATE

A DÉMONIQUE.

1. Ὦ Δημόνικε,
εὑρήσομεν μὲν
τάς τε γνώμας τῶν σπουδαίων
καὶ τὰς διανοίας τῶν φαύλων
διεστώσας πολὺ
ἐν πολλοῖς·
εἰλήφασι δὲ διαφορὰν
πολὺ μεγίστην
ἐν ταῖς συνηθείαις
πρὸς ἀλλήλους.
Οἱ μὲν γὰρ τιμῶσι τοὺς φίλους
μόνον παρόντας·
οἱ δὲ ἀγαπῶσιν αὐτοὺς
καὶ ἀπόντας
μακράν.
Καὶ χρόνος μὲν ὀλίγος
διέλυσε τὰς συνηθείας
τῶν φαύλων·
ὁ δὲ πᾶς αἰὼν
οὐδὲ ἐξαλείψειεν ἂν
τὰς φιλίας τῶν σπουδαίων.
2. Ἡγούμενος οὖν πρέπειν
τοὺς ὀρεγομένους δόξης
καὶ ἀντιποιουμένους παιδείας
εἶναι μιμητὰς τῶν σπουδαίων,
ἀλλὰ μὴ τῶν φαύλων,
ἀπέσταλκά σοι
τόνδε τὸν λόγον δῶρον,
τεκμήριον μὲν

1. O Démonique,
nous trouverons à la vérité
et les sentiments des *gens* sérieux
et les pensées des *gens* frivoles
ayant différé beaucoup
en de nombreuses *circonstances;*
mais ils ont pris une différence
de beaucoup la plus grande
dans les relations-d'amitié
à l'égard les uns des autres.
Ceux-ci en effet apprécient les amis
seulement présents;
ceux-là chérissent eux
même absents
quant à une longue *route.*
Et d'un côté un temps court
a rompu les relations-d'amitié
des *gens* frivoles;
d'un autre côté toute la vie
n'aurait pas même effacé
les amitiés des gens-de-bien.
2. Pensant donc convenir
ceux aspirant à la gloire
et ambitionnant l'instruction
être imitateurs des *gens* vertueux,
mais non des méchants,
j'ai envoyé à toi
ce discours-ci *comme* présent,
gage d'un côté

μὲν τῆς πρὸς ἡμᾶς εὐνοίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας[1]· πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν.

3. Ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον· σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ· καὶ σοὶ μὲν ἀκμὴ φιλοσοφεῖν, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. Ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν. Ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον [μόνον] παρακαλοῦσιν, οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι.

porte, et comme souvenir de l'amitié qui m'unissait à Hipponique; car il est bon que les enfants héritent des amis, comme des biens de leur père.

3. Du reste je vois que le hasard nous sourit et que les circonstances nous secondent : Toi, tu veux apprendre; et moi, je travaille à l'éducation des autres; tu es dans l'âge d'étudier, et moi, je dirige les autres dans leurs études. Composer des livres, pour inspirer à ses amis le goût de l'étude, c'est fort beau sans doute; mais ce n'est pas là poursuivre le but principal de la philosophie; et quiconque, au lieu de donner aux jeunes gens des règles de style, leur inspire des sentiments honorables, mérite bien mieux de ses disciples : car les autres ne leur enseignent que l'art de la parole, et celui-ci leur donne des règles de conduite.




τῆς εὐνοίας (τῆς) πρὸς ἡμᾶς,
σημεῖον δὲ τῆς συνηθείας
πρὸς Ἱππόνικον·
πρέπει γὰρ
τοὺς παῖδας κληρονομεῖν
καὶ τῆς φιλίας τῆς πατρικῆς
οὕτως ὥσπερ τῆς οὐσίας.
3. Ὁρῶ δὲ καὶ τὴν τύχην
συλλαμβάνουσαν ἡμῖν,
καὶ τὸν καιρὸν παρόντα
συναγωνιζόμενον·
σὺ μὲν γὰρ
ἐπιθυμεῖς παιδείας,
ἐγὼ δὲ ἐπιχειρῶ
παιδεύειν ἄλλους·
καὶ ἀκμὴ
σοὶ μὲν φιλοσοφεῖν,
ἐγὼ δὲ ἐπανορθῶ
τοὺς φιλοσοφοῦντας.
Ὅσοι μὲν οὖν συγγράφουσι
τοὺς λόγους προτρεπτικοὺς
πρὸς τοὺς φίλους ἑαυτῶν,
ἐπιχειροῦσι μὲν
ἔργον καλόν,
οὐ μήν γε διατρίβουσι
περὶ τὸ κράτιστον
τῆς φιλοσοφίας·
ὅσοι δὲ
εἰσηγοῦνται τοῖς νεωτέροις,
μὴ διὰ ὧν ἀσκήσουσι
τὴν δεινότητα ἐν τοῖς λόγοις,
ἀλλὰ ὅπως δόξουσι
πεφυκέναι σπουδαῖοι
τὰ ἤθη τῶν τρόπων,
ὠφελοῦσι τοὺς ἀκούοντας
τοσούτῳ μᾶλλον ἐκείνων,
ὅσον οἱ μὲν παρακαλοῦσιν
ἐπὶ λόγον [μόνον],
οἱ δὲ ἐπανορθοῦσι
καὶ τὸν τρόπον αὐτῶν.

de la bienveillance quant à nous,
marque d'un autre côté de l'intimité
à l'égard d'Hipponique;
il convient en effet
les enfants hériter
et de l'amitié celle paternelle
ainsi comme de la fortune.
3. Je vois d'ailleurs et la fortune
contribuant avec nous,
et l'occasion présente
combattant-avec *nous*;
toi d'un côté en effet
tu désires l'instruction,
moi d'un autre côté j'entreprends
d'instruire les autres;
et le moment-opportun
est à toi d'un côté d'aimer l'étude,
moi d'un autre côté je redresse
ceux aimant l'étude.
Donc tous-ceux-qui composent
les discours propres-à-exhorter
pour les amis d'eux-mêmes,
entreprennent à la vérité
une œuvre belle,
cependant ils ne s'occupent pas
au sujet du plus important
de la philosophie;
tous-ceux-qui d'un autre côté
inspirent à ceux plus jeunes
non par quels *moyens* ils pratiqueront
l'habileté dans les discours,
mais comment ils paraîtront
être nés vertueux
quant aux habitudes des mœurs,
sont-utiles à ceux écoutant
d'autant plus que ceux-là,
que les uns *les* exhortent
pour la parole seulement,
les autres redressent
aussi le genre-de-vie d'eux.

4. Διόπερ ἡμεῖς, οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομέν σοι συμβουλεύειν ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. Ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστι. Κάλλος μὲν γὰρ ἢ χρόνος ἀνήλωσεν, ἢ νόσος ἐμάρανε· πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστὶν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. Ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης, πλείω τοὺς ἔχοντας ἔβλαψε· καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. Ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως [ἐν] ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει,

4. Quant à nous, ce ne sont pas des exercices de rhéteur que nous t'envoyons, mais de simples conseils, où tu verras quels sont les goûts qui conviennent à un jeune homme; quels sont ceux qu'il doit éviter; quel monde il doit fréquenter, et comment il doit se diriger dans la vie : et ceux-là seuls, qui on marché dans cette voie, ont pu atteindre à ce qu'on appelle la vertu, le trésor le plus précieux et le plus solide. Car la beauté se fane avec le temps, ou succombe aux maladies ; la fortune favorise plutôt le vice que la vertu, parce qu'elle nous berce dans la mollesse et invite la jeunesse aux plaisirs. La force, éclairée par le jugement, est un avantage; mais, toute seule, elle est plutôt nuisible à ceux qui en sont doués; et si elle fait honneur aux membres des athlètes, elle obscurcit les lumières de l'intelligence. Mais la vertu, lorsque le germe s'en est développé sans mélange dans notre âme, est le seul bien qui vieillisse avec nous; elle est préférable



4. Διόπερ ἡμεῖς,	4. C'est pourquoi nous,
οὐχ εὑρόντες παράκλησιν,	n'ayant pas trouvé une exhortation,
ἀλλὰ γράψαντες παραίνεσιν,	mais ayant écrit un avertissement,
μέλλομεν συμβουλεύειν σοι	nous allons conseiller à toi
ὧν χρὴ	à quelles-choses il faut
τοὺς νεωτέρους ὀρέγεσθαι,	ceux plus jeunes aspirer,
καὶ τίνων ἔργων ἀπέχεσθαι,	et de quelles actions s'abstenir,
καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν,	et quels hommes fréquenter,
καὶ πῶς οἰκονομεῖν	et comment gouverner
τὸν βίον ἑαυτῶν.	la vie d'eux-mêmes.
Ὅσοι γὰρ ἐπορεύθησαν	En effet tous-ceux-qui ont marché
ταύτην τὴν ὁδὸν τοῦ βίου,	*dans* cette voie de la vie,
οὗτοι μόνοι ἠδυνήθησαν	ceux-là seuls ont pu
ἐφικέσθαι γνησίως τῆς ἀρετῆς,	être parvenus réellement à la vertu
ἧς	*en comparaison* de laquelle
οὐδὲν κτῆμα ἐστὶ σεμνότερον	aucune possession n'est plus magni-
οὐδὲ βεβαιότερον.	ni plus solide. [fique
Ἢ χρόνος μὲν γὰρ	Car ou le temps d'un côté
ἀνήλωσε κάλλος,	a détruit la beauté,
ἢ νόσος ἐμάρανε·	ou la maladie l'a flétrie;
πλοῦτος δὲ	la richesse d'un-autre-côté
ἐστὶν ὑπηρέτης κακίας	est servante du vice
μᾶλλον ἢ καλοκαγαθίας,	plutôt que de l'honnêteté,
παρασκευάζων μὲν	apprêtant d'un côté
ἐξουσίαν τῇ ῥᾳθυμίᾳ,	permission à la paresse,
παρακαλῶν δὲ	invitant d'un-autre-côté
τοὺς νέους ἐπὶ τὰς ἡδονάς.	les jeunes-gens aux plaisirs.
Ῥώμη δὲ ὠφέλησε	La force d'autre-part a été utile
μετὰ φρονήσεως μὲν,	avec l'intelligence, à la vérité,
ἄνευ δὲ ταύτης,	mais sans celle-ci,
ἔβλαψε πλείω τοὺς ἔχοντας·	elle a nui plutôt à ceux ayant *elle*;
καὶ ἐκόσμησε μὲν	et elle a orné d'un côté
τὰ σώματα τῶν ἀσκούντων,	les corps de ceux s'exerçant-à-la-lutte,
ἐπεσκότησε δὲ	elle a obscurci d'un autre côté
ταῖς ἐπιμελείαις τῆς ψυχῆς.	les soins de l'âme.
Ἡ δὲ κτῆσις τῆς ἀρετῆς	Quant à la possession de la vertu,
μόνη μὲν συγγηράσκει	seule d'un-côté elle vieillit-avec
οἷς ἂν συναυξηθῇ	ceux-avec-qui elle s'est augmentee
ἀκιβδήλως [ἐν] ταῖς διανοίαις,	sincèrement dans les réflexions,
ἐστὶ δὲ	elle est d'un-autre-côté

πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί· τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα, δυνατὰ καθιστᾶσα· τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσα· καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη. Ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν ἐστὶν ἔκ τε τῶν Ἡρακλέους ἄθλων καὶ τῶν Θησέως ἔργων· οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων.

5. Οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρεσέις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ' ἐμοῦ λεγομένων. Οὐ [δὲ] γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς οὐδὲ ῥαθυμῶν διετέλεσε τὸν βίον· ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν. Οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα, ἀλλ' ἀπέλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος. Οὐδὲ ταπεινῶς

à la richesse, et supérieure à l'avantage de la naissance : ce qui est impossible aux autres, elle nous le rend facile; ce qui est effrayant pour le vulgaire, elle l'envisage avec calme ; et, à ses yeux, la lâcheté est un opprobre, et l'énergie est la gloire de l'homme. C'est un enseignement qu'il est facile de recueillir des travaux d'Hercule et des exploits de Thésée, dont le courage a jeté tant d'éclat sur leur vie, que la suite des temps ne saurait réduire leurs actions à l'oubli.

5. Tu n'as d'ailleurs qu'à te rappeler les sentiments de ton père, et tu trouveras, dans ta maison même, un bel exemple des vertus que je t'enseigne. Car jamais dans sa vie il n'a négligé la vertu, ni succombé à la mollesse ; mais il exerçait ses forces par le travail, et son âme, en affrontant les dangers. Il ne fut jamais follement épris des richesses, mais il sut jouir de sa fortune comme un mortel, et administrer son patrimoine comme s'il eut été immortel. Loin de mener un genre de



κρείττων πλούτου,	meilleure que la richesse
χρησιμωτέρα δὲ εὐγενείας ·	et plus utile que la noblesse ;
καθιστᾶσα δυνατὰ	établissant possibles
τὰ μὲν ἀδύνατα τοῖς ἄλλοις ·	les-choses impossibles aux autres;
ὑπομένουσα δὲ θαρσαλέως	et supportant intrépidement
τὰ φοβερὰ τῷ πλήθει ·	les-choses terribles au vulgaire;
καὶ ἡγουμένη μὲν	et pensant d'un côté
τὸν ὄκνον ψόγον,	la paresse un blâme
τὸν πόνον δὲ ἔπαινον.	le travail d'autre part un éloge.
Καταμαθεῖν δὲ τοῦτο	Avoir compris d'ailleurs cela
ἐστὶ ῥᾴδιον	est facile
ἔκ τῶν τε ἄθλων Ἡρακλέους	d'après et les combats d'Hercule
καὶ τῶν ἔργων Θησέως·	et les actions de Thésée,
οἷς ἡ ἀρετὴ τῶν τρόπων	auxquels la vertu de *leurs* mœurs
ἐπέβαλε τοῖς ἔργοις	jeta-sur les actions *d'eux*
χαράκτῆρα εὐδοξίας τηλικοῦτον,	un caractère de gloire si grand,
ὥστε μηδὲ τὸν χρόνον ἅπαντα	que pas-même le temps tout-entier
δύνασθαι ἐμποιῆσαι λήθην	pouvoir avoir effectué l'oubli
τῶν πεπραγμένων ἐκείνοις.	des-choses faites par ceux-ci.
5. Οὐ μὴν ἀλλὰ καὶ ἀναμνησθεὶς	5. Néanmoins et te ressouvenant
τὰς προαιρέσεις τοῦ πατρὸς,	des principes du père *de toi*,
ἕξεις παράδειγμα	tu auras un modèle
οἰκεῖον καὶ καλὸν	domestique et beau
τῶν λεγομένων ὑπὸ ἐμοῦ.	des-choses dites par moi.
Διετέλεσε γὰρ τὸν βίον	Il a accompli en effet la vie
οὐκ ὀλιγωρῶν τῆς ἀρετῆς	ne négligeant pas la vertu
οὐδὲ ῥαθυμῶν·	ni se livrant-à-la-mollesse ;
ἀλλὰ ἐγύμναζε μὲν	mais il exerçait d'un côté
τὸ σῶμα τοῖς πόνοις,	le corps *de lui* par les travaux,
ὑπέμενε δὲ	il supportait d'autre côté
τοὺς κινδύνους τῇ ψυχῇ.	les dangers par l'âme.
Οὐδὲ ἠγάπα τὸν πλοῦτον	Et il ne chérissait pas la richesse
παρακαίρως,	outre-mesure,
ἀλλὰ ἀπέλαυε μὲν	mais il jouissait d'une part
τῶν ἀγαθῶν παρόντων	des biens présents
ὡς θνητὸς,	comme un mortel,
ἐπεμελεῖτο δὲ	il s'occupait d'autre part
τῶν ὑπαρχόντων	des *biens lui* appartenant
ὡς ἀθάνατος.	comme un immortel.
Οὐδὲ διώκει ταπεινῶς	Et il ne dirigeait pas humblement

διώκει τὸν ἑαυτοῦ βίον, ἀλλὰ φιλόκαλος [τε] ἦν καὶ μεγαλοπρεπής, καὶ τοῖς φίλοις κοινός. Καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὑτὸν σπουδάζοντας ἢ τοὺς τῷ γένει προσήκοντας· ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρίαν πολλῷ κρείττω φύσιν νόμου, καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγκης.

6. Ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα. Ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν· δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν, πρὸς ὃ δεῖ ζῆν σε, ὥσπερ πρὸς παράδειγμα· νόμον μὲν τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γενόμενον. Αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. Ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν ὡς σοὶ σκοπεῖν ὅπως ἐφάμιλλος γενήσει τοῖς τοῦ πατρὸς ἐπιτηδεύμα-

vie sans noblesse, il était généreux et grand, tout à ses amis. Plus sensible aux soins de l'amitié qu'aux droits du sang, il pensait qu'en fait de liens', le cœur passait avant le devoir ; la conformité d'humeur, avant la parenté ; l'inclination, avant la nécessité.

6. Nous n'aurions jamais le temps de finir, si nous voulions te rappeler toute sa vie ; mais dans un autre moment, nous t'en ferons une peinture exacte. Ici nous t'avons seulement tracé une esquisse du caractère d'Hipponique, sur qui tu dois prendre modèle pour te conduire : c'est à toi de régler ta vie sur la sienne, d'imiter et d'ambitionner la vertu de ton père. Il y aurait de la honte, en effet, quand les peintres représentent les beautés de la création, à ne pas s'appliquer à reproduire les vertus de ses parents. Crois bien qu'il n'est pas d'athlète plus intéressé à s'exercer contre ses rivaux, que tu ne l'es de





τὸν βίον ἑαυτοῦ,	la vie de lui-même,
ἀλλὰ ἦν φιλόκαλος [τε]	mais il était et ami-du-beau
καὶ μεγαλοπρεπής,	et magnifique,
καὶ κοινὸς τοῖς φίλοις.	et commun aux amis *de lui*.
Καὶ ἐθαύμαζε μᾶλλον	Et il admirait plus
τοὺς σπουδάζοντας περὶ αὑτὸν,	ceux s'empressant autour de lui,
ἢ τοὺς προσήκοντας τῷ γένει·	que ceux approchant par la naissance ;
ἡγεῖτο γὰρ φύσιν	il pensait en effet la nature
εἶναι πολλῷ κρείττω νόμου,	être de beaucoup supérieure à la loi,
καὶ τρόπον γένους,	et la manière-d'agir à la naissance,
καὶ προαίρεσιν ἀνάγκης	et l'inclination à la nécessité
πρὸς ἑταιρίαν.	à l'égard de l'amitié.
6. Ὁ δὲ χρόνος πᾶς	6. Or le temps entier
ἐπιλίποι ἂν ἡμᾶς,	manquerait à nous,
εἰ καταριθμησαίμεθα	si nous aurions énuméré
πάσας τὰς πράξεις ἐκείνου.	toutes les actions de celui-ci.
Ἀλλὰ δηλώσομεν μὲν	Mais nous montrerons certes
τὸ ἀκριβὲς αὐτῶν	l'exact d'elles
ἐν ἑτέροις καιροῖς·	dans d'autres circonstances ;
νῦν δὲ	mais maintenant
ἐξενηνόχαμεν δεῖγμα	nous avons produit un exemple
τῆς φύσεως Ἱππονίκου,	de la nature d'Hipponique,
πρὸς ὃ δεῖ σε ζῆν,	d'après lequel il faut toi vivre
ὥσπερ πρὸς παράδειγμα,	comme d'après un modèle,
ἡγησάμενον μὲν νόμον	ayant pensé d'un côté une loi
τὸν τρόπον ἐκείνου,	la manière-de-vivre de celui-ci,
γενόμενον δὲ	étant devenu d'un-autre-côté
μιμητὴν καὶ ζηλωτὴν	imitateur et émule
τῆς ἀρετῆς πατρῴας.	de la vertu paternelle.
Αἰσχρὸν γὰρ	*Il est* honteux en effet
τοὺς γραφεῖς μὲν ἀπεικάζειν	les peintres à la vérité représenter
τὰ καλὰ τῶν ζώων,	les beaux des animaux,
τοὺς παῖδας δὲ μὴ μιμεῖσθαι	mais les enfants n'imiter pas
τοὺς σπουδαίους τῶν γονέων.	les vertueux des parents.
Ἡγοῦ δὲ ἀσκεῖν	Pense donc s'exercer
ἐπὶ τοὺς ἀνταγωνιστὰς	contre les adversaires-à-la-lutte
προσήκειν μηδενὶ τῶν ἀθλητῶν	*ne* convenir à aucun des athlètes
οὕτως ὡς σοὶ σκοπεῖν	autant que à toi d'examiner
ὅπως γενήσει ἐφάμιλλος	comment tu deviendras rival
τοῦ πατρὸς τοῖς ἐπιτηδεύμασι.	du père *de toi* par les habitudes.

σιν. Οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον· τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε. Διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι δι' ὧν ἄν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι.

7. Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεοὺς[1], μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μέν, μάλιστα δὲ μετὰ τῆς πόλεως· οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν καὶ τοῖς νόμοις ἐμμένειν.

8. Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας.

9. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς τὴν

rivaliser de vertu avec ton père. Or il est impossible d'y parvenir sans de nombreuses et bonnes leçons, dont il faut te pénétrer; car si des travaux bien proportionnés fortifient le corps, c'est par de vertueux enseignements que l'âme s'élève. Aussi je vais tâcher de te proposer en peu de mots les principes d'après lesquels tu pourras faire le plus de progrès dans la vertu, et t'acquérir de la considération parmi les hommes

7. Et d'abord rends hommage aux dieux, non-seulement par des sacrifices, mais encore par ta fidélité à tenir tes serments; car les uns prouvent que tu es riche, et l'autre témoigne de ta probité. Honore la divinité toujours, mais surtout avec tes concitoyens, parce qu'alors tu paraîtras en même temps sacrifier aux dieux et observer les lois.

8. Sois pour tes parents ce que tu souhaiterais que tes enfants fussent pour toi-même.

9. Dans les exercices du corps, ne vise pas à la force, mais à la




Ἀδύνατον δὲ	*Il est* impossible pourtant
τὸν μὴ πεπληρωμένον	celui n'ayant pas été rempli
ἀκουσμάτων	de choses-entendues
πολλῶν καὶ καλῶν	nombreuses et belles
διατεθῆναι οὕτω τὴν γνώμην·	avoir été disposé ainsi d'opinion;
τὰ σώματα μὲν γὰρ	les corps d'un côté en effet
πέφυκεν αὔξεσθαι	sont nés *pour* devoir s'accroître
τοῖς πόνοις συμμέτροις,	par des travaux proportionnés;
ἡ δὲ ψυχὴ	l'âme d'un autre côté
τοῖς λόγοις σπουδαίοις.	par des discours vertueux.
Διόπερ ἐγὼ πειράσομαι	C'est pourquoi, moi, je tâcherai
ὑποθέσθαι συντόμως σοι	d'avoir soumis sommairement à toi
διὰ ὧν δοκοίης ἄν μοι	par quels *moyens* tu paraîtrais à moi
ἐπιδοῦναι	avoir ajouté
πλεῖστον ἐπιτηδευμάτων	le plus d'empressement
πρὸς ἀρετήν,	pour la vertu,
καὶ εὐδοκιμῆσαι	et avoir-acquis-de-la-gloire
παρὰ ἅπασι τοῖς ἄλλοις ἀνθρώποις.	auprès de tous les autres hommes.
7. Πρῶτον μὲν οὖν εὐσέβει	7. Or donc d'abord révère
τὰ πρὸς τοὺς θεούς,	les-choses à l'égard des dieux
μὴ μόνον θύων,	non seulement sacrifiant,
ἀλλὰ καὶ ἐμμένων	mais encore restant-fidèle
τοῖς ὅρκοις·	aux serments;
ἐκεῖνο μὲν γὰρ σημεῖον	cette-chose-là en effet *est* signe
τῆς εὐπορίας τῶν χρημάτων,	de l'abondance des richesses,
τοῦτο δὲ τεκμήριον	cette-chose-ci *est* témoignage
τῆς καλοκαγαθίας τῶν τρόπων.	de l'honnêteté des mœurs.
Τίμα τὸ δαιμόνιον ἀεὶ μέν,	Honore la divinité toujours à la vérité,
μάλιστα δὲ μετὰ τῆς πόλεως·	mais surtout avec la ville;
οὕτω γὰρ δόξεις	ainsi en effet tu paraîtras
ἅμα τε θύειν τοῖς θεοῖς	ensemble et sacrifier aux dieux
καὶ ἐμμένειν	et rester *fidèle*
τοῖς νόμοις.	aux lois.
8. Γίγνου περὶ τοὺς γονεῖς	8. Deviens à l'égard des parents de
τοιοῦτος, οἵους ἂν εὔξαιο	tel quels tu souhaiterais [toi
τοὺς παῖδας σαυτοῦ γενέσθαι	les enfants de toi-même être devenus
περὶ σεαυτόν.	à l'égard de toi-même.
9. Τῶν γυμνασίων περὶ τὸ σῶμα	9. Des exercices à l'égard du corps
ἄσκει	pratique
μὴ τὰ συμφέροντα πρὸς τὴν ῥώμην,	non ceux profitant pour la force,

ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. Τούτου δ' ἂν ἐπιτύχοις, εἰ λήγοις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος.

10. Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν.

11. Ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν.

12. Ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σύννουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις.

13. Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον, αἰχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.

14. Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ, ἂν τοὺς ἄλλους λάθῃς, σεαυτῷ γε συνειδήσεις.

15. Τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου.

16. Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν, ἄριστον, ἄνευ δὲ τούτου, κάκιστον.

17. Εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ

santé. Et le moyen d'y parvenir, c'est de s'arrêter avant d'être épuisé.

10. Déteste un rire indiscret, et méprise un discours insolent : l'un est d'un sot, et l'autre est d'un fou.

11. Sois persuadé que ce qui est honteux à faire, n'est pas bon à dire.

12. Ne te fais pas un visage farouche, mais réfléchi : avec l'un, tu passeras pour un homme hautain ; avec l'autre, pour un homme sensé.


13. Sois sûr que les qualités qui te conviennent le mieux sont la décence, la pudeur, la justice, la modération. Ce sont les premières vertus de la jeunesse.

14. N'espère jamais cacher une action honteuse ; et quand même tu la déroberais aux autres, tu ne saurais échapper à ta conscience.

15. Crains les dieux ; honore tes parents ; respecte tes amis ; obéis aux lois.

16. Recherche les plaisirs honnêtes. Les jouissances avouées par la vertu sont délicieuses ; les autres sont détestables.

17. Garde-toi bien des imputations, fussent-elles mensongères ; car



ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν.	mais ceux *profitant* pour la santé.
Ἐπιτύχοις δὲ ἂν τούτου,	Or tu aurais obtenu cela,
εἰ, δυνάμενος ἔτι πονεῖν,	si, pouvant encore travailler,
λήγοις τῶν πόνων.	tu cesserais les travaux.
10. Μήτε στέργε γέλωτα προπετῆ,	10. N'aime pas un rire indiscret,
μήτε ἀποδέχου λόγον	et n'approuve pas un discours
μετὰ θράσους·	*tenu* avec audace ;
τὸ μὲν γὰρ ἀνόητον,	l'un en effet *est* sot,
τὸ δὲ μανικόν.	l'autre, insensé.
11. Νόμιζε μηδὲ εἶναι καλὸν	11. Pense n'être pas beau
λέγειν ταῦτα,	de dire ces-choses
ἃ αἰσχρὸν ποιεῖν.	lesquelles *il est* honteux de faire.
12. Ἔθιζε σαυτὸν εἶναι	12. Habitue toi-même à être
μὴ σκυθρωπὸν,	non d'un-air-dur,
ἀλλὰ σύννουν·	mais réfléchi ;
δόξεις γὰρ εἶναι	tu paraîtras en effet être
διὰ ἐκεῖνο μὲν αὐθάδης,	par cela d'un côté hautain,
διὰ τοῦτο δὲ φρόνιμος.	par ceci d'un-autre-côté, raisonnable.
13. Ἡγοῦ κόσμον, αἰσχύνην,	13. Crois la décence, la pudeur,
δικαιοσύνην, σωφροσύνην	la justice, la modération
πρέπειν μάλιστα σαυτῷ·	convenir surtout à toi-même ;
τὸ γὰρ ἦθος τῶν νεωτέρων	car la conduite de ceux plus jeunes
δοκεῖ κρατεῖσθαι ἅπασι τούτοις.	semble l'emporter par toutes ces-cho-
14. Μηδέποτε ἔλπιζε	14. N'espère jamais [ses.
ποιήσας μηδὲν αἰσχρὸν	ayant fait rien *de* honteux ;
λήσειν·	devoir-être-caché ;
καὶ γὰρ συνειδήσεις σεαυτῷ γε,	car tu *le* sauras-avec toi-même certes,
ἂν λάθῃς τοὺς ἄλλους.	si tu es caché aux autres.
15. Φοβοῦ μὲν τοὺς θεοὺς,	15. Crains d'un côté les dieux,
τίμα δὲ τοὺς γονεῖς,	honore d'un autre les parents *de toi*,
αἰσχύνου δὲ τοὺς φίλους,	et respecte les amis *de toi*,
πείθου δὲ τοῖς νόμοις.	et obéis aux lois.
16. Θήρευε τὰς ἡδονὰς	16. Recherche les plaisirs
(τὰς) μετὰ δόξης·	*ceux* avec honneur ;
τέρψις γὰρ σὺν τῷ καλῷ μὲν	car la jouissance avec le beau à la vé-
ἄριστον,	*est* une chose-excellente [rité,
ἄνευ δὲ τούτου κάκιστον.	mais sans lui, une chose très-mauvaise.
17. Εὐλαβοῦ τὰς διαβολὰς,	17. Garde-toi-bien des accusations,
καὶ ἂν ὦσι ψευδεῖς·	même si elles sont fausses ;
οἱ πολλοὶ γὰρ	la plupart en effet

τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν.

18. Ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων· καὶ γὰρ, ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσει.

19. Μάλιστα δ' ἂν εὐδοκιμοίης εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης.

20. Ἐὰν ᾖς φιλομαθὴς, ἔσει καὶ πολυμαθής. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. Ὁμοίως γὰρ αἰσχρὸν, ἀκούσαντα χρήσιμον λόγον, μὴ μαθεῖν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων, μὴ λαβεῖν.

21. Κατανάλισκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν.

22. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω[1]· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει. Σοφία γὰρ μόνον τῶν κτημάτων ἀθάνατον.

le public ignore la vérité, et il ne regarde qu'à la renommée.

18. Figure-toi toujours avoir des témoins de ta conduite; car si tu réussis à dissimuler pour le moment, tu seras découvert plus tard.

19. Le meilleur moyen de te faire estimer, c'est de ne jamais faire ce que tu blâmerais chez les autres.

20. Si tu es studieux, tu seras savant. Ce que tu sais, entretiens-le par l'usage; ce que tu n'as pas appris, acquiers-le par l'étude. Car il est également honteux et de ne pas recueillir les choses utiles qu'on entend, et de ne pas accepter le bien que veut vous faire un ami.

21. Consacre les loisirs de ta vie au plaisir d'écouter; c'est ainsi que ce qui aura coûté tant de peine aux inventeurs, ne sera plus pour toi qu'une faible étude.

22. Mets l'abondance des lumières au-dessus de l'abondance des richesses; car celles-ci nous abandonnent bien vite; les autres nous restent toute la vie. De tous les biens, la sagesse est le seul éternel.




ἀγνοοῦσι μὲν τὴν ἀλήθειαν,	ignorent d'un côté la vérité ;
ἀποβλέπουσι δὲ πρὸς τὴν δόξαν.	ils regardent d'un autre à la renommée.
18. Δόκει ποιεῖν ἅπαντα	18. Crois faire toutes-choses
ὡς λήσων	comme ne devant être caché
μηδένα·	à personne ;
καὶ γὰρ ὀφθήσει ὕστερον,	et en effet tu seras vu dans la suite,
ἂν κρύψῃς παραυτίκα.	si tu *les* a cachées pour l'instant.
19. Εὐδοκιμοίης δὲ ἂν μάλιστα,	19. Or tu serais-bien-vu surtout
εἰ φαίνοιο μὴ πράττων	si tu paraissais ne faisant pas
ταῦτα ἃ	ces-choses lesquelles
ἐπιτιμῴης ἂν τοῖς ἄλλοις	tu blâmerais les autres
πράττουσιν.	faisant (*ces choses*).
20. Ἐὰν ᾖς φιλομαθὴς,	20. Si tu es aimant-le-savoir
ἔσει καὶ πολυμαθής.	tu seras aussi sachant-beaucoup.
Διαφύλαττε μὲν ταῖς μελέταις	Conserve d'un côté par les exercices
ἃ ἐπίστασαι·	les-choses-que tu sais ;
προσλάμβανε δὲ	prends-en-outre d'un-autre-côté
ταῖς ἐπιστήμαις	par les études
ἃ μὴ μεμάθηκας.	les-choses-que tu n'as pas apprises.
Αἰσχρὸν γὰρ ὁμοίως,	*Il est* honteux en effet également ,
ἀκούσαντα λόγον χρήσιμον,	ayant entendu un discours utile,
μὴ μαθεῖν,	ne pas avoir appris *cela,*
καὶ διδόμενον παρὰ φίλων	et étant gratifié par des amis
τὶ ἀγαθὸν	de quelque-chose de-bon
μὴ λαβεῖν.	ne pas avoir reçu *cela.*
21. Κατανάλισκε	21. Dépense
τὴν σχολὴν ἐν τῷ βίῳ	le loisir dans la vie
εἰς τὴν φιληκοΐαν τῶν λόγων·	pour l'amour-d'écouter les discours ;
συμβήσεται γὰρ οὕτω σοι	Il arrivera en effet ainsi à toi
μανθάνειν ῥᾳδίως	d'apprendre facilement
τὰ εὑρημένα χαλεπῶς	les-choses trouvées difficilement
τοῖς ἄλλοις.	par les autres.
22. Ἡγοῦ	22. Pense
πολλὰ τῶν ἀκουσμάτων	beaucoup des choses-entendues
εἶναι κρείττω	être meilleures
χρημάτων πολλῶν·	que des richesses nombreuses ;
τὰ μὲν γὰρ ἀπολείπει ταχέως,	celles-ci en effet *nous* délaissent vite,
τὰ δὲ παραμένει πάντα τὸν χρόνον.	celles-là persistent tout le temps.
Σοφία γὰρ τῶν κτημάτων	La sagesse en effet *est* des possessions
μόνον ἀθάνατον.	la seule immortelle.

23. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους[1]· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾷν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν αὑτῶν διάνοιαν.

24. Τῷ μὲν τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος· ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν.

25. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσει, τοῖς δὲ φίλος γενήσει.

26. Τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων.

27. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύνῃ καὶ τοὺς ἀκουσίους ὑπομένειν.

28. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκρά-

23. N'hésite pas à faire un long voyage, pour aller entendre ceux, dont les leçons peuvent être utiles. Il serait honteux, lorsque les marchands traversent de si grandes mers pour augmenter leur fortune, que des jeunes gens n'osassent pas entreprendre des voyages sur terre, pour perfectionner leur intelligence.

24. Prends des manières polies et un langage affable. La politesse consiste à saluer ceux que l'on rencontre, et l'affabilité, à les aborder amicalement.


25. Sois aimable avec tout le monde, lié avec les gens de bien : c'est ainsi que tu ne seras pas mal vu des uns, et que tu seras l'ami des autres.

26. Ne multiplie pas tes entretiens toujours avec les mêmes personnes, et ne les prolonge pas longtemps sur les mêmes matières ; car on se lasse de tout.

27. Exerce-toi par des travaux volontaires, afin de pouvoir supporter ceux qui te seraient imposés.

28. Toutes les passions dont le joug est honteux pour l'âme, ap-





23. Μὴ κατόκνει	23. N'hésite pas
πορεύεσθαι ὁδὸν μακρὰν	à marcher une route longue
πρὸς τοὺς ἐπαγγελλομένους	vers ceux faisant-profession
διδάσκειν τι χρήσιμον·	d'enseigner quelque-chose d'utile;
αἰσχρὸν γὰρ	*il est* honteux en effet
τοὺς ἐμπόρους μὲν	les marchands d'un côté
διαπερᾷν πελάγη τηλικαῦτα	traverser des mers si grandes
ἕνεκα τοῦ ποιῆσαι πλείω	à cause du avoir fait plus grand
τὴν οὐσίαν ὑπάρχουσαν,	leur avoir existant *déjà*,
τοὺς νεωτέρους δὲ	ceux plus jeunes d'un autre côté
μηδὲ ὑπομένειν	ne pas supporter
τὰς πορείας κατὰ γῆν	les voyages sur terre
ἐπὶ τῷ καταστῆσαι βελτίω	pour le avoir rendu meilleure
τὴν διάνοιαν αὑτῶν.	l'intelligence d'eux-mêmes.
24. Γίγνου φιλοπροσήγορος μὲν	24. Deviens affable d'un côté
τῷ τρόπῳ,	par la manière-d'agir
εὐπροσήγορος δὲ	affectueux d'un autre côté
τῷ λόγῳ·	par le langage ;
τὸ προσφωνεῖν δὲ τοὺς ἀπαντῶντας	or adresser la parole à ceux *te* rencon-
ἔστι μὲν φιλοπροσηγορίας	est à la vérité de l'affabilité [trant
τὸ δὲ ἐντυγχάνειν οἰκείως	mais aborder familièrement
αὐτοῖς τοῖς λόγοις,	eux par les discours,
εὐπροσηγορίας.	*est* du parler-affectueux.
25. Ἔχε μὲν	25. Sois d'un côté
ἡδέως πρὸς ἅπαντας,	agréablement envers tous,
χρῶ δὲ τοῖς βελτίστοις·	sers-toi d'un autre côté des meilleurs;
οὕτω γὰρ ἔσει	ainsi en effet tu seras
οὐκ ἀπεχθὴς τοῖς μὲν,	non odieux aux uns,
γενήσει φίλος τοῖς δέ.	tu deviendras ami aux autres.
26. Μὴ ποιοῦ τοῖς αὐτοῖς	26. Ne fais pas aux mêmes *person-*
τὰς ἐντεύξεις πυκνὰς,	les entretiens fréquents, [*nes*
μηδὲ μακρὰς περὶ τῶν αὐτῶν·	ni longs sur les mêmes-choses :
πλησμονὴ γὰρ ἁπάντων.	la satiété en effet *est* de toutes-choses.
27. Γύμναζε σεαυτὸν	27. Exerce toi-même
πόνοις ἑκουσίοις,	par des travaux volontaires,
ὅπως ἂν δύνῃ ὑπομένειν	afin que tu puisses supporter
καὶ τοὺς ἀκουσίους.	même les *travaux* involontaires.
28. Ἄσκει ἐγκράτειαν	28. Pratique la domination
πάντων τούτων,	de toutes ces-choses,
ὑπὸ ὧν αἰσχρὸν	par lesquelles *il est* honteux

τειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἔσει δὲ [ἐν τῷ κέρδει] τοιοῦτος, ἐὰν κέρδη μὲν εἶναι νομίζῃς δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις· ἐν δὲ τῇ ὀργῇ, [ἂν] παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας ὥσπερ ἂν πρὸς σεαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας· ἐν δὲ τοῖς τερπνοῖς, ἐὰν αἰσχρὸν ὑπολάβῃς τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς, ἐὰν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς.

29. Μᾶλλον τήρει τὰς τῶν λόγων ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

30. Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. Περὶ δὲ τῶν ἀποῤῥήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαί σοί τε τῷ λέγοντι κἀκείνοις τοῖς ἀκούουσιν.

plique-toi à les réprimer : l'amour du gain, la colère, le plaisir, la douleur. Tu triompheras de la cupidité, en ne considérant comme profit que ce qui ajoute à ta considération, et non pas à tes richesses ; de la colère, en traitant les coupables comme tu voudrais qu'on te traitât toi-même en pareil cas ; du plaisir, en restant convaincu qu'il est honteux de commander à ses serviteurs quand on est l'esclave de ses sens ; de la douleur, en considérant les malheurs des autres, et en te rappelant que tu es homme.

29. Garde avec plus de soin les paroles qu'on t'a confiées qu'un dépôt d'argent : la probité d'un honnête homme doit être une plus sûre garantie qu'un serment.

30. Sache qu'on doit se défier des méchants comme on doit se fier aux gens de bien. Ne parle de tes secrets à personne, à moins que ceux que tu prends pour confidents n'aient autant d'intérêt que toi à les taire.

τὴν ψυχὴν κρατεῖσθαι,	l'ame être dominée,
κέρδους, ὀργῆς,	du gain, de la colère,
ἡδονῆς, λύπης.	du plaisir, du chagrin.
Ἔσει δὲ τοιοῦτος	Or tu seras tel
[ἐν τῷ κέρδει] μὲν,	[dans le gain] d'un côté,
ἐὰν νομίζῃς κέρδη εἶναι	si tu penses être gains *les choses*
διὰ ὧν εὐδοκιμήσεις,	par lesquelles tu seras estimé,
ἀλλὰ μὴ διὰ ὧν	mais non par lesquelles
εὐπορήσεις·	tu seras-dans-l'abondance ;
ἐν δὲ τῇ ὀργῇ,	dans la colère d'un autre côté,
[ἂν] ἔχῃς παραπλησίως	si tu es semblablement
πρὸς τοὺς ἁμαρτάνοντας	envers ceux commettant-une-faute
ὥσπερ ἂν ἀξιώσειας	comme tu aurais jugé-à-propos
τοὺς ἄλλους ἔχειν	les autres être
πρὸς σεαυτὸν ἁμαρτάνοντα·	envers toi-même *en* commettant ;
ἐν δὲ τοῖς τερπνοῖς,	dans les-choses agréables,
ἐὰν ὑπολάβῃς αἰσχρὸν	si tu as supposé honteux
ἄρχειν μὲν	de commander d'un côté
τῶν οἰκετῶν,	aux domestiques,
δουλεύειν δὲ ταῖς ἡδοναῖς·	d'être asservi d'un autre aux plaisirs ;
ἐν δὲ τοῖς λυπηροῖς,	et dans les-choses fâcheuses,
ἐὰν ἐπιβλέπῃς	si tu regardes
τὰς ἀτυχίας τῶν ἄλλων,	les infortunes des autres,
καὶ ὑπομιμνήσκῃς σαυτὸν	et *que* tu te rappelles toi-même
ὡς ὢν ἄνθρωπος.	comme étant homme.
29. Τήρει μᾶλλον	29. Garde plutôt
τὰς παρακαταθήκας τῶν λόγων	les dépôts des discours
ἢ τὰς τῶν χρημάτων·	que les *dépôts* des richesses ;
δεῖ γὰρ τοὺς ἄνδρας ἀγαθοὺς	il faut en effet les hommes vertueux
φαίνεσθαι παρεχομένους	paraître présentant
τρόπον πιστότερον ὅρκου.	un caractère plus sûr qu'un serment.
30. Ἡγοῦ προσήκειν	30. Pense être convenable
ἀπιστεῖν τοῖς πονηροῖς,	de se défier des méchants
ὥσπερ πιστεύειν τοῖς χρηστοῖς.	comme de se fier aux bons.
Λέγε δὲ μηδενὶ	Ne parle de plus à personne
περὶ τῶν ἀποῤῥήτων,	sur les secrets *de toi*,
πλὴν ἐὰν συμφέρῃ ὁμοίως	excepté si il importe également
σοί τε τῷ λέγοντι	et à toi celui *les* disant
καὶ ἐκείνοις τοῖς ἀκούουσι	et à ceux-là ceux *les* entendant
σιωπᾶσθαι τὰς πράξεις.	de taire les affaires *de toi*.

31. Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις· ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων. Ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.

32. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς προτέροις φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε.

33. Βραδέως μὲν φίλος γίγνου[1], γενόμενος δὲ, πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

34. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. Τοῦτο δὲ ποιήσεις, ἐὰν, μὴ δεόμενός του, δεῖσθαι προσποιῇ. Περὶ [δὲ] τῶν ῥητῶν ὡς ἀποῤῥήτων ἀνακοινοῦ· μὴ τυχὼν μὲν γὰρ, οὐδὲν βλαβήσει, τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσει.

35. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας

31. Ne vois matière à prêter serment que dans deux circonstances, soit pour te laver d'une accusation infamante, soit pour sauver tes amis en péril. Mais à propos d'argent n'invoque le nom d'aucun dieu, même pour attester la vérité; car tu passerais aux yeux des uns pour un parjure, aux yeux des autres pour un avare.

32. N'admets personne dans ton amitié avant d'examiner comment on s'est conduit envers ses premiers amis. Attends-toi qu'on sera pour toi ce qu'on fut pour eux.

33. Ne te presse pas de conclure amitié; mais une fois engagé, tâche d'être constant; car il est également honteux et de n'avoir pas un ami, et d'en changer souvent.

34. N'éprouve pas tes amis à tes dépens, et ne t'y attache pas avant de les éprouver. Tu peux le faire, en leur demandant par feinte, ce dont tu n'as pas besoin. Et puis communique-leur des choses indifférentes, sous le sceau du secret. Si tu échoues, tu n'en seras pas dupe; et, en cas de succès, tu auras appris à les mieux connaître.

35. C'est dans le malheur et dans les périls à partager que tu appré-

31. Προσδέχου ὅρκον ἐπακτὸν	31. Admets un serment imposé
διὰ δύο προφάσεις·	pour deux motifs :
ἢ ἀπολύων σεαυτὸν	soit délivrant toi-même
αἰτίας αἰσχρᾶς,	d'une accusation honteuse,
ἢ διασώζων φίλους ἐκ κινδύνων.	soit sauvant des amis des dangers.
Ἕνεκα δὲ χρημάτων	Mais pour des richesses
ὀμόσῃς μηδένα θεὸν,	n'aie juré-par aucun dieu,
μηδὲ ἂν μέλλῃς εὐορκεῖν·	pas même si tu dois bien-jurer;
δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν,	car tu paraîtras aux uns te parjurer,
τοῖς δὲ ἔχειν φιλοχρημάτως.	aux autres, être aimant-les-richesses.
32. Ποιοῦ μηδένα φίλον	32. Ne te fais personne ami
πρὶν ἂν ἐξετάσῃς	avant que tu aies recherché
πῶς κέχρηται	comment il s'est servi
τοῖς φίλοις προτέροις·	des amis antérieurs;
ἔλπιζε γὰρ αὐτὸν γενήσεσθαι	espère en effet lui devoir devenir
καὶ περὶ σὲ τοιοῦτον,	aussi pour toi tel
οἷος γέγονε καὶ περὶ ἐκείνους.	quel il fut aussi pour ceux-là.
33. Γίγνου μὲν	33. Deviens d'un côté
φίλος βραδέως,	ami lentement,
γενόμενος δὲ, πειρῶ διαμένειν·	mais devenu, tâche de persister :
αἰσχρὸν γὰρ ὁμοίως	*il est* honteux en effet également
ἔχειν μηδένα φίλον,	de n'avoir aucun ami,
καὶ μεταλλάττειν	et de changer
πολλοὺς ἑταίρους.	de nombreux amis.
34. Μήτε πειρῶ τῶν φίλων	34. N'éprouve pas les amis
μετὰ βλάβης,	avec dommage,
μήτε θέλε εἶναι	et ne veuille pas être
ἄπειρος τῶν ἑταίρων.	sans-avoir-éprouvé les amis.
Ποιήσεις δὲ τοῦτο,	Or tu feras cela
ἐὰν, μὴ δεόμενός του,	si, n'ayant pas besoin de quelque-chose
προσποιῇ δεῖσθαι.	tu fais semblant d'*en* avoir besoin.
Ἀνακοινοῦ [δὲ] περὶ τῶν ῥητῶν	Puis communique sur les-choses-à-[dire
ὡς ἀποῤῥήτων·	comme ne-devant-pas-être-dites;
μὴ τυχὼν μὲν γὰρ	n'ayant pas réussi d'un côté en effet
βλαβήσει οὐδὲν,	tu n'éprouveras-dommage en rien,
τυχὼν δὲ	ayant réussi d'un autre côté
ἐπιστήσει μᾶλλον	tu sauras mieux
τὸν τρόπον αὐτῶν.	le caractère d'eux.
35. Δοκίμαζε τοὺς φίλους	35. Apprends-à-connaître les amis
ἔκ τε τῆς ἀτυχίας περὶ τὸν βίον	et par le malheur dans la vie

καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ βασανίζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν.

36. Οὕτως [δ' ἂν] ἄριστα χρήσει τοῖς φίλοις, ἐὰν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος αὐτοῖς, ἐν τοῖς καιροῖς, βοηθῇς.

37. Ὁμοίως αἰσχρὸν εἶναι νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις[1].

38. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ γὰρ ἀτυχοῦσι μὲν τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι.

39. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.

40. Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής· ἔστι γὰρ φιλοκάλου μὲν τὸ μεγαλοπρεπές, καλλωπιστοῦ δὲ τὸ περίεργον.

cieras tes amis ; car si c'est par le feu qu'on essaie l'or, c'est par l'adversité qu'on éprouve les amis.

36. La meilleure manière d'en user avec tes amis, c'est de n'attendre pas leurs demandes, et de les secourir de toi-même, quand l'occasion s'en présente.

37. Regarde comme également honteux et de le céder en haine à ses ennemis, et de se laisser vaincre en bons offices par ses amis.

38. Prends pour amis, non pas ceux qui compâtissent seulement aux maux des autres, mais ceux qui ne portent pas non plus envie aux heureux. Car il en est beaucoup qui s'affligent du malheur de leurs amis, et qui sont jaloux du bien qui leur arrive.

39. Souviens-toi de tes amis absents devant ceux qui sont là, afin de ne pas paraître les oublier à leur tour, quand ils n'y sont plus.

40. Recherche l'élégance dans tes vêtements, et fuis le luxe. Ce qui fait l'élégance, c'est le bon goût ; ce qui fait le luxe, c'est le superflu

καὶ τῆς κοινωνίας	et *par* la communauté
(τῆς) ἐν τοῖς κινδύνοις·	dans les dangers ;
βασανίζομεν μὲν γὰρ	nous essayons d'un côté en effet
τὸ χρυσίον ἐν τῷ πυρὶ,	l'or dans le feu,
διαγινώσκομεν δὲ	nous discernons d'autre part
τοὺς φίλους ἐν ταῖς ἀτυχίαις.	les amis dans les infortunes.
36. Οὕτω δὲ	36. Or *c'est* ainsi *que*
χρήσει ἄριστα τοῖς φίλοις,	tu te serviras très-bien des amis,
ἐὰν μὴ περιμένῃς	si tu n'attends pas
τὰς δεήσεις (τὰς) παρὰ ἐκείνων,	les demandes de la part de ceux-ci,
ἀλλὰ βοηθῇς αὐτοῖς	mais si tu secours eux
αὐτεπάγγελτος	de-ton-propre-mouvement
ἐν τοῖς καιροῖς.	dans les occasions.
37. Νόμιζε	37. Pense
εἶναι ὁμοίως αἰσχρὸν	être également honteux
νικᾶσθαι τῶν ἐχθρῶν	d'être vaincu par les ennemis
ταῖς κακοποιΐαις,	*dans* les mauvais-traitements
καὶ ἡττᾶσθαι τῶν φίλων	et d'être surpassé par les amis
ταῖς εὐεργεσίαις.	*dans* les bienfaits.
38. Τῶν ἑταίρων ἀποδέχου	38. Parmi les amis admets
μὴ μόνον τοὺς	non-seulement ceux
δυσχεραίνοντας ἐπὶ τοῖς κακοῖς,	s'affligeant des maux *des autres*,
ἀλλὰ καὶ τοὺς μὴ φθονοῦντας	mais encore ceux n'étant-pas-envieux
ἐπὶ τοῖς ἀγαθοῖς·	des biens *des autres ;*
πολλοὶ γὰρ συνάχθονται μὲν	beaucoup en effet compatissent certes
τοῖς φίλοις ἀτυχοῦσι,	aux amis malheureux,
φθονοῦσι δὲ	mais portent envie
πράττουσι καλῶς.	*à ceux* réussissant bien.
39. Μέμνησο	39. Souviens-toi
τῶν φίλων ἀπόντων	des amis absents
πρὸς τοὺς παρόντας,	vis à vis des présents,
ἵνα δοκῇς	afin que tu paraisses
μηδὲ ὀλιγωρεῖν τούτων ἀπόντων.	ne pas négliger ceux-là absents.
40. Βούλου εἶναι φιλόκαλος	40. Veuille être aimant-le-beau
τὰ περὶ τὴν ἐσθῆτα,	*quant* aux-choses concernant l'habit,
ἀλλὰ μὴ καλλωπιστής·	mais non pas fastueux.
τὸ μεγαλοπρεπὲς μὲν γὰρ	le magnifique d'un côté en effet
ἐστὶ φιλοκάλου,	est d'un *homme* aimant-le-beau,
τὸ δὲ περίεργον	le superflu d'un autre côté
καλλωπιστοῦ.	*est* d'un *homme* fastueux.

41. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

42. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων μὲν, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος.

43. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. Ἔστι δὲ χρήματα μὲν τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ τοῖς χρῆσθαι δυναμένοις.

44. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκεν, τοῦ τε ζημίαν μεγάλην ἐκτῖσαι δύνασθαι καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρὸς δὲ τὸν ἄλλον βίον, μηδὲν ὑπερβαλλόντως ἀλλὰ μετρίως αὐτὴν ἀγάπα.

45. Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω.

46. Μηδενὶ συμφορὰν ὀνειδίσης· κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον.

47. Τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ

41. Ne fais pas consister le bonheur de la fortune dans les grands biens qu'elle nous donne, mais dans l'usage modéré qu'on sait en faire.

42. Méprise ceux qui ne songent qu'à la richesse, et qui ne savent pas jouir de ce qu'ils ont. Ils font comme celui qui achèterait un beau cheval, sans savoir le monter.

43. Tâche que tes richesses soient pour toi un revenu et une propriété. C'est un revenu pour qui sait en jouir; une propriété pour qui peut en disposer.

44. Fais cas de ta fortune pour deux raisons : parce qu'elle te donne la faculté de supporter une grande perte, et de soulager le malheur d'un ami honnête. Pour ce qui regarde les autres intérêts de la vie, n'y attache pas un prix trop élevé, mais raisonnable.

45. Contente-toi du présent, et cherche mieux.

46. Ne reproche à personne son malheur; car la fortune est changeante, et l'avenir incertain.

47. Fais du bien aux honnêtes gens; car c'est un beau trésor qu'un

41. Ἀγάπα	41. Aime
μὴ τὴν κτῆσιν ὑπερβάλλουσαν,	non l'acquisition excessive,
ἀλλὰ τὴν ἀπόλαυσιν μετρίαν	mais la jouissance modérée
τῶν ἀγαθῶν ὑπαρχόντων.	des biens étant *à toi*.
42. Καταφρόνει	42. Méprise
τῶν σπουδαζόντων μὲν	ceux s'empressant d'un còté
περὶ τὸν πλοῦτον,	pour la richesse,
μὴ δυναμένων δὲ	ne pouvant pas d'un autre côté
χρῆσθαι τοῖς ὑπάρχουσιν·	se servir de celles étant *à eux*;
οἱ τοιοῦτοι γὰρ	les *gens* tels en effet
πάσχουσι παραπλήσιον	souffrent une-chose-à-peu près sem-
ὥσπερ εἴ τις ἂν κτήσαιτο	que si quelqu'un aurait acquis [blable
ἵππον καλὸν,	un cheval beau
ἐπιστάμενος κακῶς ἱππεύειν.	sachant mal monter-à-cheval.
43. Πειρῶ	43. Tâche
τὸν πλοῦτον κατασκευάζειν	la richesse préparer
χρήματα καὶ κτήματα.	des revenus et des possessions.
Χρήματα δέ ἐστι μὲν	Or *ce* sont d'un côté des revenus
τοῖς ἐπισταμένοις ἀπολαύειν,	pour ceux sachant jouir,
κτήματα δὲ	*ce* sont d'un autre des possessions
τοῖς δυναμένοις χρῆσθαι.	pour ceux pouvant s'*en* servir.
44. Τίμα	44. Estime
τὴν οὐσίαν ὑπάρχουσαν	la fortune existant *déjà*
ἕνεκεν δυοῖν,	à cause de deux-choses,
τοῦ τε δύνασθαι ἐκτῖσαι	et du pouvoir avoir payé
ζημίαν μεγάλην,	une amende grande,
καὶ τοῦ βοηθῆσαι	et du avoir secouru
φίλῳ σπουδαίῳ δυστυχοῦντι·	un ami honnête malheureux;
πρὸς δὲ τὸν ἄλλον βίον,	mais quant au reste de la vie,
ἀγάπα αὐτὴν μηδὲν ὑπερβαλλόντως,	n'aime pas elle en rien excessivement,
ἀλλὰ μετρίως.	mais modérément.
45. Στέργε μὲν	45. Aime à la vérité
τὰ παρόντα,	les-choses présentes,
ζήτει δὲ τὰ βελτίω.	mais cherches-*en* de meilleures.
46. Ὀνειδίσης	46. N'aie pas reproché
μηδενὶ συμφοράν·	à personne *son* malheur;
ἡ τύχη γὰρ κοινὴ,	la fortune en effet *est* commune,
καὶ τὸ μέλλον ἀόρατον.	et l'avenir invisible.
47. Ποίει εὖ τοὺς ἀγαθούς·	47. Traite bien les bons:
χάρις γὰρ ὀφειλομένη	car une reconnaissance due

σπουδαίῳ χάρις ὀφειλομένη. Τοὺς κακοὺς εὖ ποιῶν, ὅμοια πείσει τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν· ἐκεῖναί τε γὰρ τοὺς διδόντας ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν, οἵ τε κακοὶ τοὺς ὠφελοῦντας ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι.

48. Μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύσαντας ἀδικοῦσιν.

49. Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατον [σοι] χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους.

50. Γίγνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός· τὸν μὲν γὰρ τῶν ὑπεροπτικῶν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν, τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. Ὁμιλητικὸς δ' ἔσει μὴ δύσερις ὢν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντας φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως ὀργιζόμενοι

service bien placé. Faire du bien aux méchants, c'est nourrir les chiens d'autrui. Ceux-ci aboient après ceux qui leur donnent, comme après des étrangers, et les méchants payent les bons offices comme les mauvais traitements.

48. Déteste les flatteurs comme les trompeurs : les uns et les autres perdent ceux qui croient à leurs discours.

49. En t'attachant des amis empressés à te plaire dans l'adversité, tu ne les verras jamais de ta vie te détester dans la prospérité.

50. Sois sociable avec ceux que tu fréquentes, mais jamais fier. A peine si des esclaves pourraient supporter la morgue d'un orgueilleux ; tandis que tout le monde voit avec plaisir les gens dont l'humeur est sociable. Or un caractère sociable n'est ni querelleur, ni maussade ; il n'est pas toujours disposé à disputer ; il ne heurte jamais de front l'opinion des autres, quand même ils la soutiendraient avec une in-

θησαυρὸς καλὸς	*est* un trésor beau
παρὰ ἀνδρὶ σπουδαίῳ.	chez un homme honnête.
Ποιῶν εὖ τοὺς κακοὺς	Traitant bien les méchants
πείσει ὅμοια	tu éprouveras des-choses semblables
τοῖς σιτίζουσι	à ceux nourrissant
κύνας ἀλλοτρίας·	des chiens étrangers ;
ἐκεῖναί τε γὰρ ὑλακτοῦσι	et ceux-ci en effet aboient-après
τοὺς διδόντας	ceux donnant,
ὥσπερ τοὺς τυχόντας,	comme *après* les premiers-venus,
οἵ τε κακοὶ ἀδικοῦσι	et les méchants font-tort
τοὺς ὠφελοῦντας	à ceux *leur* rendant-service
ὥσπερ τοὺς βλάπτοντας.	comme à ceux *leur* nuisant.
48. Μίσει τοὺς κολακεύοντας	48. Hais ceux flattant
ὥσπερ τοὺς ἐξαπατῶντας·	comme ceux trompant ;
ἀμφότεροι γὰρ	les-uns-et-les-autres en effet,
πιστευθέντες	ayant été crus
ἀδικοῦσι τοὺς πιστεύσαντας.	font tort à ceux ayant cru.
49. Ἐὰν ἀποδέχῃ τοὺς τῶν φίλων	49. Si tu admets ceux des amis
χαριζομένους [σοι]	cherchant-à-complaire à toi
πρὸς τὸ φαυλότατον,	vis à vis de la pire *fortune*,
οὐχ ἕξεις ἐν τῷ βίῳ	tu n'auras pas dans la vie
τοὺς ἀπεχθανομένους	ceux haïssant *toi*
πρὸς τὸ βέλτιστον.	vis à vis de la meilleure.
50. Γίγνου ὁμιλητικὸς	50. Deviens sociable
πρὸς τοὺς πλησιάζοντας,	envers ceux fréquentant *toi*,
ἀλλὰ μὴ σεμνός·	mais non pas sévère ;
οἱ μὲν γὰρ δοῦλοι	les esclaves en effet d'un côté
μόλις ἂν καρτερήσειαν	à peine souffriraient
τὸν ὄγκον τῶν ὑπεροπτικῶν,	la morgue des superbes,
ἅπαντες δὲ	tous d'un autre côté
ὑποφέρουσιν ἡδέως	supportent agréablement
τὸν τρόπον τῶν ὁμιλητικῶν.	l'humeur de ceux *étant* sociables.
Ἔσει δὲ ὁμιλητικὸς	Or tu seras sociable
ὢν μὴ δύσερις, μηδὲ δυσάρεστος,	n'étant pas querelleur, ni maussade,
μηδὲ φιλόνεικος πρὸς πάντας,	ni aimant-à-disputer contre tous,
μηδὲ ἀπαντῶν τραχέως	ni résistant aigrement
πρὸς τὰς ὀργὰς	aux emportements
τῶν πλησιαζόντων,	de ceux fréquentant *toi*,
μηδὲ ἂν τυγχάνωσιν	pas même s'ils se trouvent
ὀργιζόμενοι ἀδίκως·	s'emportant injustement ;

τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων· μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων (τὸ γὰρ ἄκαιρον, πανταχοῦ λυπηρόν)· μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος· ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν [εὖ], ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος ὢν, βαρὺ γάρ· μηδὲ φιλεπιτιμητὴς, παροξυντικὸν γάρ.

51. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἐὰν δέ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστασο πρὸ μέθης. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβαλοῦσιν· ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται, διαμαρτόντα τῶν εὐθυνόντων, ἥ τε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας.

52. Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι· θνητὰ δὲ, τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν.

juste violence; mais il leur cède d'abord, et quand il les voit plus calmes, il leur fait ses remontrances; il n'est pas sérieux quand on rit, et il ne s'amuse pas à rire dans les circonstances sérieuses, parce que ce qui est déplacé n'est jamais aimable; il ne rend jamais un service de mauvaise grâce, comme il y en a beaucoup, qui tout en faisant le bien, blessent les amis qu'ils obligent. Il n'aime pas non plus à quereller les autres, c'est chose insupportable; ni à les blâmer, cela ne fait que les aigrir.

51. Garde-toi surtout de la société des buveurs; et quand le hasard te l'impose, préviens l'ivresse en quittant la table. Car la raison, une fois vaincue par le vin, ressemble à ces chars qui ont perdu leurs conducteurs; n'ayant plus qui les dirige, ils sont emportés çà et là au hasard : de même l'âme s'égare à chaque instant quand elle a perdu la raison.

52. Montre que tu es immortel par l'élévation de ton âme, et que tu es mortel par ta modération dans l'usage des biens d'ici-bas.

ἀλλὰ εἴκων μὲν αὐτοῖς θυμουμένοις,	mais cédant d'un côté à eux étant émus,
ἐπιπλήττων δὲ	gourmandant d'un autre côté
πεπαυμένοις τῆς ὀργῆς·	*eux* ayant cessé la colère;
μηδὲ σπουδάζων	et ne t'occupant-pas-sérieusement
περὶ τὰ γελοῖα,	dans les moments-de-rire,
μηδὲ χαίρων τοῖς γελοίοις	ni t'amusant aux jeux-pour-rire
περὶ τὰ σπουδαῖα,	dans les *circonstances* sérieuses
(τὸ ἄκαιρον γὰρ	(l'intempestif en effet
λυπηρὸν πανταχοῦ)·	*est* désagréable partout);
μηδὲ χαριζόμενος ἀχαρίστως	et n'obligeant pas désobligeamment
τὰς χάριτας·	*quant à* des services;
ὅπερ πάσχουσιν οἱ πολλοὶ,	ce-que souffrent la plupart,
ποιοῦντες μὲν εὖ,	faisant d'un côté bien,
ὑπουργοῦντες δὲ	assistant d'un autre côté
ἀηδῶς τοῖς φίλοις·	désagréablement les amis d'eux;
μηδὲ ὢν φιλαίτιος,	et n'étant pas enclin-à-accuser,
βαρὺ γάρ·	car *c'est* chose-lourde;
μηδὲ φιλεπιτιμητὴς,	ni enclin-à-reprendre,
παροξυντικὸν γάρ.	car c'est chose-irritante.
51. Εὐλαβοῦ μάλιστα μὲν	51. Garde-toi surtout d'un côté
τὰς συνουσίας ἐν τοῖς πότοις·	des compagnies dans les festins;
ἐὰν δὲ καιρὸς	si d'un autre côté l'occasion
συμπέσῃ σοί ποτε,	est tombée à toi par hasard,
ἐξανίστασο πρὸ μέθης.	lève-toi avant l'ivresse.
Ὅταν γὰρ ὁ νοῦς	Lorsque en effet l'esprit
διαφθαρῇ ὑπὸ οἴνου,	a été corrompu par le vin,
πάσχει τὰ αὐτὰ	il éprouve les mêmes-choses
τοῖς ἅρμασι τοῖς ἀποβαλοῦσι	*que* les chars ceux ayant rejeté
τοὺς ἡνιόχους·	les conducteurs *d'eux*;
ἐκεῖνά τε γὰρ	et ces *chars* en effet
φέρεται ἀτάκτως,	sont emportés en-désordre,
διαμαρτόντα τῶν εὐθυνόντων,	manquant de ceux les-menant-droit,
ἥ τε ψυχὴ σφάλλεται πολλὰ,	et l'âme erre *en* beaucoup *de choses*,
τῆς διανοίας διαφθαρείσης.	la réflexion ayant été viciée.
52. Φρόνει μὲν	52. Conçois d'un côté
ἀθάνατα	des *idées* immortelles
τῷ εἶναι μεγαλόψυχος·	par le être magnanime;
θνητὰ δὲ,	des *idées* mortelles d'un autre côté
τῷ ἀπολαύειν συμμέτρως	par le jouir avec-mesure
τῶν ὑπαρχόντων.	des *biens* présents

53. Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας· πολλάκις γὰρ, ὧν τοῖς λόγοις ἐλύπησαν, τούτων τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν.

54. Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας· ἀρχὴ γὰρ φιλίας μὲν ἔπαινος, ἔχθρας δὲ, ψόγος.

55. Βουλευόμενος, παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν.

56. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.

57. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν[1].

58. Περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλῃ δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις ὡς περὶ ἀλλοτρίου

53. Juge quel avantage la science a sur l'ignorance : quand tous les autres défauts profitent en quelque chose à l'homme, l'ignorance seule ne lui attire que des mécomptes, et l'expose souvent à des maux réels, pour des offenses commises en paroles.

54. Ceux dont tu veux te faire des amis, dis-en du bien pour qu'on le leur rapporte. L'amitié commence par l'éloge; la haine, par le blâme.

55. Quand tu délibères, profite des exemples du passé pour l'avenir : c'est par le connu qu'on peut le plus aisément juger de l'inconnu.

56. Sois circonspect dans le conseil, et prompt dans l'exécution.

57. Sois persuadé que deux choses surtout sont pour nous importantes: l'une dépend de Dieu, c'est le succès; l'autre de nous, c'est la prudence.

58. Quand tu n'oses pas t'expliquer directement avec des amis sur certaines matières dont tu voudrais pourtant bien les entretenir, il

53. Ἡγοῦ τὴν παιδείαν εἶναι
ἀγαθὸν τοσούτῳ μεῖζον
τῆς ἀπαιδευσίας,
ὅσῳ πάντες μὲν πράττουσι
τὰ ἄλλα μοχθηρὰ
κερδαίνοντες,
αὕτη δὲ μόνη καὶ
προσεζημίωσε τοὺς ἔχοντας·
πολλάκις γὰρ
ἔδοσαν τοῖς ἔργοις
τὴν τιμωρίαν τούτων
ὧν ἐλύπησαν τοῖς λόγοις.
54. Οὓς ἂν βούλῃ
ποιήσασθαι φίλους,
λέγε τι ἀγαθὸν περὶ αὐτῶν
πρὸς τοὺς ἀπαγγέλλοντας·
ἔπαινος μὲν γὰρ
ἀρχὴ φιλίας,
ψόγος δὲ,
ἔχθρας.
55. Βουλευόμενος,
ποιοῦ τὰ παρεληλυθότα
παραδείγματα τῶν μελλόντων·
τὸ ἀφανὲς γὰρ ἔχει
τὴν διάγνωσιν ταχίστην
ἐκ τοῦ φανεροῦ.
56. Βουλεύου μὲν βραδέως,
ἐπιτέλει δὲ ταχέως
τὰ δόξαντα.
57. Ἡγοῦ κράτιστον
εἶναι μὲν εὐτυχίαν
παρὰ τῶν θεῶν,
εὐβουλίαν δὲ,
παρὰ ἡμῶν αὐτῶν.
58. Περὶ ὧν
ἂν αἰσχύνῃ
παῤῥησιάσασθαι,
βούλῃ δὲ ἀνακοινώσασθαι
τισὶ τῶν φίλων,
χρῶ τοῖς λόγοις

53. Pense l'instruction être
un bien d'autant plus grand
que l'ignorance,
que tous à la vérité font
les autres-choses mauvaises
en faisant-du-gain,
mais celle-ci seule même
en-outre-fait-tort à ceux ayant elle;
souvent en effet
ils ont donné par les faits
la vengeance de ceux
que ils ont chagrinés par les discours.
54. Ceux que tu voudrais
avoir faits amis,
dis quelque-chose de-bon sur eux
à ceux *le* rapportant *à eux;*
la louange d'un côté en effet
est un commencement d'amitié,
le blâme d'un autre côté,
est un *commencement* de haine.
55. Délibérant,
fais-toi les-choses passées
exemples de celles devant-arriver;
l'inconnu en effet a
le discernement le plus prompt
d'après l'évident.
56. Délibère d'un côté lentement,
exécute d'un autre rapidement
les-choses jugées-à-propos.
57. Pense le principal
être d'un côté le bonheur
de la part des dieux,
la prudence d'autre côté
de la part de nous-mêmes.
58. *Sur les choses* sur lesquelles
tu aurais-honte
de t'être expliqué-franchement,
mais *que* tu veux avoir communi-
à certains des amis *de toi,* [quées
sers-toi des paroles *de toi*

τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσει, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις.

59. Ὅταν [δὲ] ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβούλῳ χρῆσθαι, σκόπει πρῶτον πῶς τὰ ἑαυτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

60. Οὕτω δ' ἂν κάλλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀρρωστίας ἀναμνησθῶμεν.

61. Μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζηλοῦν· ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν.

62. Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. Ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ

faut leur en parler comme de choses indifférentes; tu sauras ainsi leur sentiment, sans te mettre à découvert.

59. Avant de consulter quelqu'un sur ce qui te concerne, examine d'abord comment il a gouverné ses propres affaires. Car celui qui a mal entendu ses propres intérêts, ne sera jamais de bon conseil pour les autres.

60. Le moyen de vous engager à bien réfléchir, c'est de considérer les fâcheux résultats d'une conduite imprudente. C'est ainsi que nous prenons le plus grand soin de notre santé quand nous nous rappelons les inconvénients de la maladie.

61. Sache prendre exemple sur la conduite des rois et te conformer à leurs goûts, de manière à paraître les approuver et les imiter : tu feras ainsi concevoir au peuple une meilleure opinion de toi, et tu t'assureras auprès d'eux-mêmes un plus grand crédit.

62. Obéis aux lois que les rois ont établies; mais considère comme la meilleure de toutes leur bon plaisir. Car de même que, dans une république, il s'agit de se rendre agréable à la multitude, de même, sous

ὡς περὶ τοῦ πράγματος ἀλλοτρίου·	comme sur l'affaire d'autrui;
οὕτω γὰρ αἰσθήσει τε	ainsi en effet et tu sentiras
τὴν γνώμην ἐκείνων,	l'opinion de ceux-ci,
καὶ οὐ ποιήσεις	et tu ne feras pas
σεαυτὸν καταφανῆ.	toi-même dévoilé.
59. Ὅταν δὲ μέλλῃς	59. Or lorsque tu-es-sur-le-point-de
χρῆσθαί τινι συμβούλῳ	te servir de quelqu'un *pour* conseiller
ὑπὲρ τῶν σεαυτοῦ,	sur les-choses de toi-même,
σκόπει πρῶτον	examine d'abord
πῶς διῴκησε	comment il a gouverné
τὰ ἑαυτοῦ·	les-choses de lui-même;
ὁ γὰρ διανοηθεὶς κακῶς	car celui ayant été inspiré mal
περὶ τῶν οἰκείων,	sur celles propres,
βουλεύσεται οὐδέποτε καλῶς	ne délibérera jamais bien
περὶ τῶν ἀλλοτρίων.	sur celles d'autrui.
60. Παροξυνθείης δὲ ἂν οὕτω	60. Mais tu aurais été excité ainsi
βουλεύεσθαι κάλλιστα,	à délibérer les plus belles-choses,
εἰ ἐπιβλέψειας τὰς συμφορὰς	si tu aurais considéré les malheurs
τὰς ἐκ τῆς ἀβουλίας·	ceux *provenant* de l'imprudence;
καὶ γὰρ ἔχομεν	et en effet nous avons
πλείστην ἐπιμέλειαν τῆς ὑγιείας,	le plus grand soin de la santé,
ὅταν ἀναμνησθῶμεν	lorsque nous nous sommes rappelé
τὰς λύπας	les chagrins
τὰς ἐκ τῆς ἀρρωστίας.	ceux *provenant* de la faiblesse.
61. Μιμοῦ τὰ ἤθη τῶν βασιλέων,	61. Imite les mœurs des rois,
καὶ δίωκε τὰ ἐπιτηδεύματα ἐκείνων·	et poursuis les goûts de ceux-ci;
δόξεις γὰρ ἀποδέχεσθαι	tu paraîtras en effet adopter
καὶ ζηλοῦν αὐτούς·	et chercher-à-imiter eux;
ὥστε συμβήσεταί σοι	de sorte que il arrivera à toi
εὐδοκιμεῖν τε μᾶλλον	et d'être estimé davantage
παρὰ τῷ πλήθει,	auprès de la multitude,
καὶ ἔχειν τὴν εὔνοιαν βεβαιοτέραν	et d'avoir la bienveillance plus solide
παρὰ ἐκείνων.	de la part de ceux-là.
62. Πείθου μὲν καὶ τοῖς νόμοις	62. Obéis certes aussi aux lois,
τοῖς κειμένοις ὑπὸ τῶν βασιλέων·	celles établies par les rois;
ἡγοῦ μέντοι νόμον ἰσχυρότατον	pense toutefois la loi la plus forte
τὸν τρόπον ἐκείνων.	*être* l'humeur de ceux-ci.
Ὥσπερ γὰρ δεῖ	Comme en effet il faut
τὸν πολιτευόμενον ἐν δημοκρατίᾳ	celui gouverné dans la démocratie
θεραπεύειν τὸ πλῆθος,	se mettre-au-service-de la multitude,

θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν.

63. Εἰς ἀρχὴν κατασταθείς, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν.

64. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

65. Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν οἷάπερ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς.

66. Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δύνασθαι, ἀνέχου δὲ τὸ ἴσον ἔχων· ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν.

67. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει· κά-

un gouvernement monarchique, il est bon de faire sa cour au roi.

63. Une fois constitué en dignité, n'emploie jamais le ministère d'un méchant; car toutes ses fautes, c'est à toi qu'on les imputerait.

64. Quitte les emplois publics, non pas plus riche, mais plus estimé; car la richesse ne vaut pas la popularité.

65. Ne prête ton assistance ni tes conseils à personne pour une mauvaise action; car tu paraîtrais toi-même capable de ce que tu soutiens chez les autres.

66. Mets-toi en état de dominer, et soumets-toi au niveau de l'égalité, afin de paraître vouloir la justice, non par le sentiment de ta faiblesse, mais par amour pour l'équité.

67. Préfère la vertu dans la pauvreté aux richesses coupables. Car tel est l'avantage de l'innocence sur la fortune, que celle-ci profite à l'homme seulement pendant sa vie, tandis que celle-là assure sa gloire

οὕτω καὶ προσήκει
τὸν κατοικοῦντα ἐν μοναρχίᾳ
θαυμάζειν τὸν βασιλέα.

63. Κατασταθεὶς εἰς ἀρχήν,
χρῶ μηδενὶ πονηρῷ
πρὸς τὰς διοικήσεις·
ἀναθήσουσι γὰρ σοὶ
τὰς αἰτίας ὧν ἐκεῖνος
ἂν ἁμάρτῃ.

64. Ἀπαλλάττου
ἐκ τῶν ἐπιμελειῶν κοινῶν
μὴ πλουσιώτερος,
ἀλλὰ ἐνδοξότερος·
ὁ γὰρ ἔπαινος παρὰ τοῦ πλήθους
κρείττων
πολλῶν χρημάτων.

65. Μήτε παρίστασο
μηδενὶ πράγματι πονηρῷ
μήτε συνηγόρει·
δόξεις γὰρ πράττειν καὶ αὐτὸς
τοιαῦτα οἷάπερ
ἂν βοηθῇς τοῖς ἄλλοις
πράττουσι.

66. Παρασκεύαζε σεαυτὸν μὲν
δύνασθαι πλεονεκτεῖν,
ἀνέχου δὲ
ἔχων τὸ ἴσον·
ἵνα δοκῇς
ὀρέγεσθαι τῆς δικαιοσύνης
μὴ διὰ ἀσθένειαν,
ἀλλὰ διὰ ἐπιείκειαν.

67. Ἀποδέχου μᾶλλον
πενίαν δικαίαν
ἢ πλοῦτον ἄδικον·
δικαιοσύνη γὰρ
τοσούτῳ κρείττων χρημάτων
ὅσῳ τὰ μὲν ὠφελεῖ
μόνον ζῶντας,
ἡ δὲ παρασκευάζει δόξαν
καὶ τελευτήσασι·

de même aussi il convient
celui habitant dans une monarchie
admirer le roi.

63. Ayant été constitué en puissance,
ne te sers d'aucun méchant
pour les administrations;
on imputera en effet à toi
les griefs desquels celui-là
se serait rendu-coupable.

64. Retire-toi
des soins publics
non plus riche,
mais plus illustre;
car la louange de la part de la foule
est meilleure
que beaucoup de richesses.

65. N'assiste
à aucune action méchante
ni ne t'*en*-fais-l'avocat;
tu paraîtras en effet faire toi aussi
des choses-telles que
tu secourrais aux autres
faisant *ces choses*.

66. Prépare toi-même d'un côté
à pouvoir être-supérieur,
supporte d'un autre côté
ayant l'égalité;
afin que tu paraisses
aspirer à la justice
non par faiblesse,
mais par convenance.

67. Adopte plutôt
une pauvreté pleine-de-justice
que une richesse injuste;
la justice en effet
est d'autant meilleure que les richesses
que les unes profitent
seulement aux vivants,
l'autre prépare la gloire
même *à ceux* étant morts;

κείνων μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν.

68. Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι.

69. Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ, νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι.

70. Πειρῶ τῷ μὲν σώματι εἶναι φιλόπονος, τῇ δὲ ψυχῇ φιλόσοφος· ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα.

71. Πᾶν ὅ τι ἂν μέλλῃς ἐρεῖν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας.

72. Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ

après sa mort. Et puis l'une est commune à toutes sortes de gens, tandis que l'autre est interdite aux méchants.

68. N'envie à personne des biens injustement acquis, et admire plutôt le juste dans le malheur. Quand même les gens de bien n'auraient pas d'autre avantage sur les méchants, ils sont du moins plus riches en bonnes espérances.

69. Donne tes soins à tout ce qui importe pour bien vivre; mais surtout cultive ton esprit : la plus grande chose contenue dans la plus petite, c'est un bon esprit dans le corps d'un homme.

70. Applique-toi à rompre ton corps aux fatigues, et ton âme au travail de la pensée, afin que l'un puisse exécuter les desseins dont l'autre aura su d'avance reconnaître la portée.

71. Réfléchis toujours à ce que tu vas dire : chez bien des gens, la langue devance la réflexion.

72. Il y a deux circonstances où tu dois prendre la parole : c'est

καὶ μέτεστι μὲν ἐκείνων	et puis il est participé à celles-là
τοῖς φαύλοις,	par les *gens* sans-valeur,
ἀδύνατον δὲ τοῖς μοχθηροῖς	et *il est* impossible aux pervers
μεταλαβεῖν ταύτης.	d'avoir pris-part à celle-ci.
68. Ζήλου μηδένα	68. N'envie aucun
τῶν κερδαινόντων ἐξ ἀδικίας,	de ceux gagnant par injustice,
ἀλλὰ ἀποδέχου μᾶλλον	mais adopte plutôt
τοὺς ζημιωθέντας	ceux ayant été lésés
μετὰ δικαιοσύνης·	avec la justice *pour eux ;*
οἱ δίκαιοι γὰρ	les justes en effet
εἰ πλεονεκτοῦσι μηδὲν ἄλλο	s'ils ne sont-plus-riches en rien autre
τῶν ἀδίκων,	que les injustes,
ἀλλὰ οὖν ὑπερέχουσιν	mais du moins ils sont-supérieurs
ἐλπίσι γε σπουδαίαις.	par des espérances certes bonnes.
69. Ἐπιμελοῦ μὲν	69. Aie-soin à la vérité
πάντων τῶν περὶ τὸν βίον,	de toutes les-choses concernant la vie,
μάλιστα δὲ ἄσκει	mais surtout exerce
τὴν φρόνησιν σαυτοῦ·	la raison de toi-même ;
μέγιστον γὰρ ἐν ἐλαχίστῳ,	car la plus grande dans la plus petite [chose,
νοῦς ἀγαθὸς	*c'est* un esprit bon
ἐν σώματι ἀνθρώπου.	dans un corps d'homme.
70. Πειρῶ εἶναι	70. Tâche d'être
φιλόπονος μὲν	d'un côté ami-du-travail
τῷ σώματι,	par le corps,
φιλόσοφος δὲ	d'un-autre-côté ami-de-la-sagesse
τῇ ψυχῇ·	par l'âme,
ἵνα δύνῃ τῷ μὲν	afin que tu puisses par l'un
ἐπιτελεῖν τὰ δόξαντα,	exécuter les-choses jugées-à-propos,
ἐπίστῃ τῇ δὲ	*et* que tu saches par l'autre
προορᾶν τὰ συμφέροντα.	prévoir celles étant-utiles.
71. Ἐπισκόπει	71. Examine
τῇ γνώμῃ πρότερον	par la pensée d'abord
πᾶν ὅ τι ἂν μέλλῃς ἐρεῖν·	tout ce-que tu es sur-le-point-de dire.
πολλοῖς γὰρ	Pour beaucoup *de gens* en effet
ἡ γλῶσσα προτρέχει	la langue court-en-avant
τῆς διανοίας.	de la réflexion.
72. Ποιοῦ δύο καιροὺς τοῦ λέγειν,	72. Fais-toi deux occasions de parler,
ἢ περὶ ὧν	ou sur les choses-que
οἶσθα σαφῶς,	tu sais clairement,
ἢ περὶ ὧν	ou sur les choses-que

περὶ ὧν ἀναγκαῖον εἰπεῖν· ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων· ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾷν ἢ λέγειν.

73. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσει περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος.

74. Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, λυποῦ δὲ μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν. Γίγνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὢν κατάδηλος· ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν.

75. Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτὴν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν.

76. Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν· ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. Τὸ μὲν γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμεν.

quand tu possèdes parfaitement ton sujet, ou quand la nécessité t'oblige à parler. Dans ces deux cas-là seulement, mieux vaut parler que se taire. En toute autre occasion, mieux vaut garder le silence.

73. Songe qu'il n'y a rien de durable dans les choses humaines : c'est le moyen d'échapper à l'enivrement des succès et à l'abattement du malheur.

84. Réjouis-toi du bien, sans trop t'affecter du mal qui t'arrive; mais dans l'un et dans l'autre cas, n'en laisse rien voir aux autres. Il serait ridicule, lorsqu'on cache chez soi son avoir, d'aller montrer partout sa pensée.

75. Redoute le blâme plus que le danger. C'est la fin de la vie qui est terrible pour les méchants; pour les gens de bien, c'est la honte.

76. Fais tout ton possible pour mettre ta vie en sûreté; mais s'il t'arrive jamais de courir quelque danger, tâche de sortir du combat avec honneur, et sans infâmie. Car mourir, c'est le destin de tous les hommes; mais une belle mort est la récompense que la nature n'accorde qu'à la vertu.

ἀναγκαῖον εἰπεῖν·	il est nécessaire d'avoir dit;
ἐν τούτοις μόνοις γὰρ	dans ces *circonstances* seules en effet
ὁ λόγος κρείττων τῆς σιγῆς·	la parole *est* meilleure que le silence;
ἐν δὲ τοῖς ἄλλοις	mais dans les autres
σιγᾷν ἄμεινον ἢ λέγειν.	se taire *est* meilleur que parler.
73. Νόμιζε μηδὲν	73. Pense aucune
τῶν ἀνθρωπίνων βέβαιον·	des choses humaines *n'être* stable;
οὕτω γὰρ εὐτυχῶν	ainsi en effet étant-heureux
ἔσει οὔτε περιχαρὴς,	tu ne seras ni joyeux-à-l'excès
οὔτε περίλυπος, δυστυχῶν.	ni triste-à-l'excès, étant-malheureux.
74. Χαῖρε μὲν	74. Réjouis toi d'un côté,
ἐπὶ τοῖς τῶν ἀγαθῶν συμβαίνουσι,	au sujet de ceux des biens survenant,
λυποῦ δὲ μετρίως	afflige-toi d'autre part modérément
ἐπὶ τοῖς τῶν κακῶν γιγνομένοις.	au sujet de ceux des maux arrivant.
Μηδὲ δὲ γίγνου	Mais ne deviens pas
ἐν ἑτέροις	dans les uns ou les autres
ὢν κατάδηλος τοῖς ἄλλοις·	étant découvert aux autres;
ἄτοπον γὰρ ἀποκρύπτειν μὲν	car *il est* déplacé de cacher d'un côté
τὴν οὐσίαν ἐν ταῖς οἰκίαις,	le bien *de soi* dans les maisons,
περιπατεῖν δὲ	et d'un autre côté de se promener
ἔχοντα τὴν διάνοιαν φανεράν.	ayant la pensée découverte.
75. Εὐλαβοῦ ψόγον	75. Garde-toi du blâme
μᾶλλον ἢ κίνδυνον·	plus que du danger;
δεῖ γὰρ τὴν μὲν τελευτὴν τοῦ βίου	car il faut la fin de la vie d'un côte
εἶναι φοβερὰν τοῖς φαύλοις,	être terrible aux méchants,
τὴν δὲ ἀδοξίαν τὴν ἐν τῷ ζῆν	mais l'infamie celle dans le vivre
τοῖς σπουδαίοις.	*être terrible* aux vertueux.
76. Πειρῶ μάλιστα μὲν	76. Tâche surtout d'un côté
ζῆν κατὰ τὴν ἀσφάλειαν·	de vivre selon la sécurité;
ἐὰν δὲ συμβῇ ποτέ σοι	et si il est arrivé jamais à toi
κινδυνεύειν,	de courir-des-dangers
ζήτει τὴν σωτηρίαν ἐκ τοῦ πολέμου	cherche le salut hors de la guerre
μετὰ καλῆς δόξης,	avec une belle gloire,
ἀλλὰ μὴ μετὰ αἰσχρᾶς φήμης.	mais non avec une honteuse renommée.
Ἡ μὲν γὰρ πεπρωμένη	La destinée d'un côté en effet
κατέκρινε τὸ τελευτῆσαι	a décidé le être mort
πάντων·	*être* de tous *les hommes*;
ἡ δὲ φύσις ἀπένειμε	et la nature a donné-en-partage
τὸ ἀποθανεῖν καλῶς	le être mort bien
ἴδιον τοῖς σπουδαίοις.	propre aux *gens* vertueux.

77. Καὶ μὴ θαυμάσῃς εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν. Οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. Τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις, τὸν δὲ μετ' εὐνοίας συμβουλεύοντα χαλεπῶς εὑρήσεις· ὅπως οὖν μὴ παρ' ἑτέρου τὰ λοιπὰ ζητῇς, ἀλλ' ἐντεῦθεν, ὥσπερ ἐκ ταμιείου, προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν ὧν ἂν ἔχω σοι συμβουλεύειν.

78. Πολλὴν δ' ἂν τοῖς θεοῖς χάριν σχοίην εἰ μὴ διαμάρτοιμι τῆς δόξης ἧς ἔχων περὶ σοῦ τυγχάνω. Τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νομοθετοῦσι. Σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σου παιδείαν φιλοπονίᾳ. Τὸν γὰρ αὑτῷ

77. Et ne sois pas étonné si je te donne ici beaucoup de conseils, qui ne conviennent pas encore à ton âge : je le sais bien ; mais j'ai mieux aimé te donner, dans le même traité, des conseils pour le présent, et te laisser en même temps des principes de conduite pour l'avenir. Car tu sauras aisément les mettre en pratique, tandis que tu trouveras difficilement un ami pour te bien conseiller. Afin donc que tu n'aies plus besoin de consulter personne pour le reste, et que tu puisses désormais puiser ici comme dans un magasin, j'ai jugé à propos de ne pas oublier un seul des avis que j'avais à te donner.

78. Je rendrais grâce à Dieu, si je te voyais justifier la bonne opinion que j'ai conçue de toi. Nous trouvons que la plupart des hommes préfèrent les mets les plus savoureux aux plus salutaires, et, tout de même, les amis qui partagent leurs erreurs à ceux qui leur font des remontrances. Quant à toi, je présume que tu penses tout différemment, et j'en ai la preuve dans le zèle que tu mets à compléter ton éducation ; car quiconque se fait un devoir de se toujours bien con-

77. Καὶ μὴ θαυμάσῃς
εἰ πολλὰ τῶν εἰρημένων
οὐ πρέπει σοι
πρὸς τὴν ἡλικίαν παροῦσαν νῦν.
Τοῦτο γὰρ
οὐδὲ διέλαθεν ἐμέ·
ἀλλὰ προειλόμην
ἅμα τε ἐξενεγκεῖν
συμβουλίαν τοῦ βίου παρόντος
διὰ τῆς αὐτῆς πραγματείας
καὶ καταλιπεῖν παράγγελμα
τοῦ χρόνου μέλλοντος.
Εἰδήσεις μὲν γὰρ ῥᾳδίως
.ην χρείαν τούτων,
εὑρήσεις δὲ χαλεπῶς
συμβουλεύοντα μετὰ εὐνοίας·
ὅπως οὖν μὴ ζητῇς
τὰ λοιπὰ παρὰ ἑτέρου,
ἀλλὰ προφέρῃς ἐντεῦθεν,
ὥσπερ ἐκ ταμιείου,
ᾠήθην δεῖν παραλιπεῖν μηδὲν
ὧν ἂν ἔχω συμβουλεύειν σοι.
78. Σχοίην δὲ ἂν τοῖς θεοῖς
πολλὴν χάριν
εἰ μὴ διαμάρτοιμι
τῆς δόξης
ἧς τυγχάνω ἔχων περὶ σοῦ.
Εὑρήσομεν γὰρ
τοὺς πλείστους τῶν ἄλλων
ὥσπερ χαίροντας μᾶλλον
τοῖς ἡδίστοις τῶν σιτίων
ἢ τοῖς ὑγιεινοτάτοις,
οὕτω καὶ πλησιάζοντας
τοῖς τῶν φίλων συνεξαμαρτάνουσιν,
ἀλλὰ οὐ τοῖς νουθετοῦσι.
Νομίζω δέ σε ἐγνωκέναι
τὸ ἐναντίον τούτων,
χρώμενος τεκμηρίῳ
τῇ φιλοπονίᾳ σου
(τῇ) περὶ τὴν ἄλλην παιδείαν.

77. Et n'aie pas été étonné
si beaucoup des-choses dites
ne conviennent pas à toi
pour l'âge présent aujourd'hui.
Cela en effet
n'a pas non plus échappé à moi ;
mais j'ai préféré
ensemble et avoir produit
des conseils de la vie présente
par la même opération
et avoir laissé un enseignement
du temps à-venir.
Tu sauras d'un côté en effet facilement
l'usage de ces-choses,
tu trouveras d'autre part difficilement
quelqu'un conseillant avec bienveil-
afin donc que tu ne cherches pas [lance;
le reste auprès d'un autre,
mais que tu le puises d'ici,
comme d'une réserve,
j'ai pensé falloir n'avoir omis rien
des choses-que j'ai à conseiller à toi.
78. Or j'aurais pour les-dieux
beaucoup de reconnaissance
si je ne m'étais pas trompé
dans l'opinion
que je me trouve ayant sur toi.
Nous trouverons en effet
la plupart des autres
de même que se réjouissant plutôt
des plus agréables des mets,
que des plus salubres,
de même aussi fréquentant
ceux des amis participant-aux-fautes,
mais non ceux réprimandant.
Mais je pense toi avoir reconnu
le contraire de ces-choses,
me servant *comme* preuve
de l'amour-du-travail de toi
concernant le reste de l'éducation.

τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι.

79. Μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τούτων μάλιστα γνησίας ἔχομεν. Ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾷν, εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι· τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν καὶ σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι. Κἀκεῖ μὲν πρότερον ἡσθέντες, ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ, μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. Ἐν πᾶσι δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν· τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν.

80. Ἐνθυμοῦ δὲ ὅτι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα

duire, doit naturellement préférer à tous les autres ceux qui l'exhortent à la vertu.

79. Ce qui doit surtout t'inspirer le goût de tout ce qui est bien, c'est cette pensée que de là proviennent les plus réelles de nos jouissances. Et en effet, dans une vie de mollesse et d'excès, les chagrins suivent de bien près les plaisirs; tandis qu'une vertu active, une conduite sagement réglée, est toujours une source de jouissances pures et solides. D'un côté, nous nous livrons d'abord à la joie, pour tomber bientôt dans la peine; de l'autre, au contraire, c'est la peine qui précède le plaisir. Or, en toutes choses, nous conservons moins l'impression du commencement que le sentiment de la fin; car dans cette vie, ce n'est pas, la plupart du temps, en vue des choses elles-mêmes que nous agissons, mais c'est pour en recueillir les conséquences que nous nous donnons du mal.

80. Songe bien d'ailleurs qu'il est permis peut-être à des hommes

Εἰκὸς γὰρ
τὸν ἐπιτάττοντα αὑτῷ
πράττειν τὰ βέλτιστα,
τοῦτον ἀποδέχεσθαι
καὶ τοὺς τῶν ἄλλων
παρακαλοῦντας ἐπὶ τὴν ἀρετήν.
79. Παροξυνθείης δὲ ἂν μάλιστα
ὀρεχθῆναι τῶν καλῶν ἔργων,
εἰ καταμάθοις ὅτι
ἔχομεν καὶ μάλιστα γνησίας
τὰς ἡδονὰς τὰς ἐκ τούτων.
Αἱ μὲν γὰρ λῦπαι
παραπεπήγασιν εὐθὺς
ταῖς ἡδοναῖς
ἐν τῷ ῥᾳθυμεῖν
καὶ ἀγαπᾷν τὰς πλησμονάς·
τὸ δὲ φιλοπονεῖν
περὶ τὴν ἀρετὴν
καὶ οἰκονομεῖν σωφρόνως
τὸν βίον αὑτοῦ,
ἀποδίδωσιν ἀεὶ τὰς τέρψεις
εἰλικρινεῖς καὶ βεβαιοτέρας.
Καὶ ἐκεῖ μὲν ἡσθέντες πρότερον,
ἐλυπήθημεν ὕστερον·
ἐνταῦθα δὲ,
μετὰ τὰς λύπας
ἔχομεν τὰς ἡδονάς.
Ἐν δὲ πᾶσι τοῖς ἔργοις
οὐ μνημονεύομεν
τῆς ἀρχῆς
οὕτως ὡς λαμβάνομεν
αἴσθησιν τῆς τελευτῆς·
ποιοῦμεν γὰρ τὰ πλεῖστα
τῶν περὶ τὸν βίον
οὐ διὰ τὰ πράγματα αὐτὰ,
ἀλλὰ διαπονοῦμεν
ἕνεκα τῶν ἀποβαινόντων.
80. Ἐνθυμοῦ δὲ ὅτι ἐνδέχεται
τοῖς φαύλοις μὲν
πράττειν τὰ τυχόντα

Il est naturel en effet
celui ordonnant à soi-même
de faire les-choses les meilleures,
celui-là adopter
aussi ceux des autres
invitant à la vertu.
79. Or tu serais excité surtout
à avoir tendu-vers les belles actions,
si tu avais appris que
nous avons surtout réels
les plaisirs ceux de ces-choses.
Les chagrins d'un côté en effet
ont été attachés tout-droit
aux plaisirs
dans le se livrer-à-la-mollesse
et chérir les excès;
mais le aimer-à-travailler
pour la vertu
et administrer sagement
la vie de soi-même,
rend toujours les plaisirs
purs et plus solides.
Et là d'un côté ayant joui d'abord,
nous avons été affligés ensuite;
ici d'un autre côté,
après les chagrins
nous avons les plaisirs.
Or dans toutes les actions
nous ne nous souvenons pas
du commencement
ainsi comme nous prenons
sentiment de la fin;
nous faisons en effet la plupart
des-choses concernant la vie
non à cause des choses elles-mêmes,
mais nous travaillons
à cause des-choses s'ensuivant.
80. Mais réfléchis que il est-possible
aux méchants d'un côté
de faire les premières-choses-venues

πράττειν (εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν), τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. Πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας· εἰκότως· ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἦ πού γε τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους, οὐ φαύλους εἶναι φήσομεν; Δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν μὴ μόνον εἰς αὐτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα καὶ δόξαν καὶ φίλους ἐνεχείρισεν· οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν.

81. Εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι πῶς ἔχουσι πρὸς τοὺς φαύλους καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας (ὡς οἱ μῦθοι

vulgaires d'agir au hasard (puisque c'est le plan de conduite qu'ils se sont tracé dès l'origine), mais qu'il n'est pas possible à des hommes de bien de négliger la vertu, sous peine de s'attirer mille reproches. Car on en veut moins à des hommes franchement vicieux qu'à ceux qui se donnent pour des sages, et qui ne valent pas mieux que les autres. Et c'est bien juste : car puisque nous détestons ceux qui ne mentent qu'en paroles, pourquoi ne donnerions-nous pas le nom de méchants à des gens qui démentent leurs principes par leur vie tout entière? Nous pourrions avec raison leur reprocher non-seulement de se manquer à eux-mêmes, mais encore de trahir la fortune. Elle leur a donné richesses, réputation, amis; et ce sont eux-mêmes qui se rendent indignes de leur bonheur.

81. S'il est permis à un mortel de pénétrer les intentions des dieux, je crois voir, dans la manière dont ils ont traité leurs proches, un exemple du sort qu'ils réservent aux justes et aux méchants. Jupiter fut père d'Hercule et de Tantale (comme le dit la fable, et comme tout

(πεποίηνται γὰρ εὐθὺς	(ils se sont fait en effet sur-le-champ
τὴν ὑπόθεσιν τοῦ βίου τοιαύτην)	le plan de la vie tel),
οὐχ οἷόν τε δὲ τοῖς σπουδαίοις	et il n'*est* pas possible aux bons
ἀμελεῖν τῆς ἀρετῆς	de négliger la vertu
διὰ τὸ ἔχειν	à cause du avoir
τοὺς ἐπιπλήττοντας πολλούς.	ceux réprimandant nombreux.
Πάντες γὰρ οὐ μισοῦσιν οὕτω	Tous en effet ne haïssent pas autant
τοὺς ἐξαμαρτόντας	ceux ayant failli
ὡς τοὺς φάσκοντας μὲν	que ceux disant à la vérité
εἶναι ἐπιεικεῖς,	être convenables,
διαφέροντας δὲ μηδὲν	mais ne différant en rien
τῶν τυχόντων·	des premiers-venus :
εἰκότως·	*et cela* avec raison;
ὅπου γὰρ ἀποδοκιμάζομεν	quand en effet nous réprouvons
τοὺς ψευδομένους τῷ λόγῳ μόνῳ,	ceux mentant par la parole seule,
ἦ πού γε	est-ce que par hasard certes
οὐ φήσομεν εἶναι φαύλους	nous ne dirons pas être méchants
τοὺς ἐλαττουμένους παντὶ τῷ βίῳ;	ceux étant inférieurs par toute la vie?
Ὑπολάβοιμεν δὲ ἂν δικαίως	Or nous aurions supposé justement
τοὺς τοιούτους ἁμαρτάνειν	les *gens* tels être-en-défaut
μὴ μόνον εἰς αὐτούς,	non seulement envers eux-mêmes,
ἀλλὰ καὶ εἶναι προδότας	mais encore être traîtres
τῆς τύχης·	de la fortune;
ἡ μὲν γὰρ ἐνεχείρισεν αὐτοῖς	celle-ci en effet a mis-en-main à eux
χρήματα καὶ δόξαν καὶ φίλους·	richesses et gloire et amis;
οἱ δὲ κατέστησαν	ceux-là ont établi
σφᾶς αὐτοὺς ἀναξίους	eux-mêmes indignes
τῆς εὐδαιμονίας ὑπαρχούσης.	du bonheur subsistant.
81. Εἰ δὲ δεῖ ὄντα θνητὸν	81. Si toutefois il faut étant mortel
στοχάσασθαι	chercher-à-pénétrer
τῆς διανοίας τῶν θεῶν,	la pensée des dieux,
ἡγοῦμαι καὶ ἐκείνους δηλῶσαι	je pense ceux-ci avoir montré
μάλιστα ἐπὶ τοῖς οἰκειοτάτοις	surtout à l'égard des plus proches [*d'eux*
πῶς ἔχουσι	comment ils sont
πρὸς τοὺς φαύλους	envers les méchants
καὶ τοὺς σπουδαίους	et les vertueux
τῶν ἀνθρώπων.	des hommes.
Ζεὺς γὰρ γεννήσας	Jupiter en effet ayant engendré
Ἡρακλέα καὶ Τάνταλον	Hercule et Tantale
(ὡς οἱ μῦθοι λέγουσι,	(comme les fables disent,

λέγουσι καὶ πάντες πιστεύουσι), τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ, διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν[1].

82. Οἷς δεῖ παραδείγμασι χρωμένους, ὀρέγεσθαι τῆς καλοκαγαθίας· καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγιγνώσκειν. Ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω δεῖ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν· μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

le monde le croit), et il récompensa la vertu de l'un par l'immortalité, et punit les crimes de l'autre par les plus affreux supplices.

82. Il faut profiter de ces exemples, et aspirer au bien. Loin de s'en tenir seulement à ce que j'ai dit, il faut apprendre aussi tout ce qu'il y a de meilleur dans les poètes et lire tout ce que les philosophes ont écrit d'utile. Comme l'abeille, que nous voyons se poser sur toutes les fleurs pour prendre à chacune d'elle ce qui lui convient; ainsi quiconque aspire à l'instruction ne doit rien négliger, mais recueillir de tous les côtés ce qui peut lui servir; et c'est à peine encore si, à force d'assiduité, nous pourrons nous mettre au-dessus des faiblesses de notre nature.

καὶ πάντες πιστεύουσι),
ἐποίησε τὸν μὲν ἀθάνατον
διὰ τὴν ἀρετὴν,
ἐκόλασε τὸν δὲ
ταῖς μεγίσταις τιμωρίαις
διὰ τὴν κακίαν.
82. Οἷς παραδείγμασι χρωμένους
δεῖ ὀρέγεσθαι τῆς καλοκαγαθίας·
καὶ μὴ μόνον ἐμμένειν
τοῖς εἰρημένοις ὑπὸ ἡμῶν,
ἀλλὰ καὶ μανθάνειν
τὰ βέλτιστα τῶν ποιητῶν,
καὶ ἀναγιγνώσκειν
τῶν ἄλλων σοφιστῶν,
εἰ εἰρήκασί τι χρήσιμον.
Ὥσπερ γὰρ ὁρῶμεν
τὴν μέλιτταν καθιζάνουσαν μὲν
ἐπὶ ἅπαντα τὰ βλαστήματα,
λαμβάνουσαν δὲ
τὰ χρήσιμα ἀπὸ ἑκάστου,
οὕτω δεῖ καὶ τοὺς
ὀρεγομένους παιδείας
ἔχειν μὲν
ἀπείρως μηδενὸς,
συλλέγειν δὲ
τὰ χρήσιμα πανταχόθεν·
μόλις γὰρ
ἄν τις ἐπικρατήσειεν
ἐκ ταύτης τῆς ἐπιμελείας
τὰς ἁμαρτίας τῆς φύσεως.

et tous *y* ajoutent-foi),
fit l'un immortel
à cause de la vertu *de lui*,
il punit l'autre
par les plus grands châtiments
à cause de la perversité *de lui*.
82. Desquels exemples se servant
il faut tendre à l'honnêteté;
et non seulement rester-*fidèles*
aux-choses dites par nous,
mais encore apprendre
les meilleures-choses des poëtes,
et passer-en-revue *les ouvrages*
des autres savants,
s'ils ont dit quelque-chose d'utile.
Comme en effet nous voyons
l'abeille se posant d'un côté
sur toutes les plantes,
prenant d'un autre côte
les-choses utiles de chacune;
ainsi il faut aussi ceux
visant à l'instruction,
être d'un côté
sans-expérience de rien,
recueillir d'un autre côté
les-choses utiles de toutes parts;
à peine en effet
quelqu'un aurait triomphé
par cette aptitude
des défauts de la nature.

NOTES

SUR LES CONSEILS D'ISOCRATE A DÉMONIQUE.

Page 4.—1. Σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας. *Marque de l'amitié qui m'unissait à Hipponique*. Hipponique était, comme il est facile de le voir, le père de Démonique, à qui Isocrate adresse ces conseils. Dans la suite du discours, l'auteur nous apprend que son disciple était encore fort jeune. Du reste, le père et le fils ne sont connus que par le souvenir que nous en laisse Isocrate.

Page 12. — 1. Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεούς. *D'abord honore les dieux*. C'est là le premier des préceptes. De tous temps et chez tous les peuples, la pensée du législateur se porte d'abord vers la divinité, dont l'autorité partout reconnue peut seule consacrer les lois humaines... καὶ τοῖς ὅρκοις ἐμμένων, *et en restant fidèle aux sentiments*. On comprendra l'importance de cette recommandation, si l'on considère d'une part combien était sacrée chez les anciens la religion du serment, et de l'autre, la réputation de mauvaise foi que s'étaient faite les Grecs, au rapport de quelques auteurs. Chez les Égyptiens, le parjure était un si grand crime, qu'on le punissait de mort ; tandis que l'inconstance des Grecs était devenue proverbiale.

Page 16. — 1. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω κ. τ. λ. *Pense que beaucoup d'enseignements sont plus précieux que beaucoup de richesses*, etc. C'est ce que Phèdre nous développe dans sa fable de Simonide, l. IV, fab. 21, où ce philosophe sauve du naufrage toutes ses richesses, parce qu'il les portait en lui-même.

Page 18.—1. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. *N'hésite pas à faire un long chemin pour aller entendre ceux qui font profession d'enseigner des choses utiles*. On sait que l'usage en Grèce, comme à Rome, était d'envoyer les jeunes gens, dès qu'ils avaient atteint un certain âge, suivre les leçons des plus grands maîtres d'éloquence et de philosophie.

Page 22.—1. Βραδέως μὲν φίλος γίγνου, γενόμενος δὲ, πειρῶ διαμένειν. C'est ce que Suétone a presque littéralement traduit dans l'éloge qu'il fait d'Auguste, C. LXVI. « Amicitias neque facilè admisit, et constantissimè retinuit.» *Il ne prodigua pas son amitié, et il fut très-fidèle dans ses affections*.

Page 24.—1. Ὁμοίως αἰσχρὸν εἶναι νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. *Crois qu'il est également honteux et de se laisser vaincre en mauvais procédés par ses ennemis, et de le céder en bienfaits à ses amis*. Il faut se rappeler ici que c'est le conseil d'un païen ; on le trouve partout justifié par les mœurs des Grecs de ce temps-là, et, d'après les opinions reçues dans l'antiquité, l'homme vraiment juste, devait être bon avec les bons et méchant avec les méchants. Une telle maxime aujourd'hui serait impie, parce que nous en savons de meilleures : *Ne pas rendre le mal pour le mal, et prier pour ses ennemis*.

Page 32.—1. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν. *Crois bien que deux choses sont pour nous surtout importantes : le succès, qui dépend des dieux, et la sagesse, qui dépend de nous-mêmes*. C'est encore une opinion des anciens, mais elle est exagérée, et c'est faire à l'homme une trop grande part, que de lui attribuer en propre la sagesse, qui n'appartient qu'à Dieu. C'est à lui seul qu'il faut la demander, parce que lui seul peut nous l'inspirer.

Page 48.—1. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας (ὡς οἱ μῦθοι λέγουσι καὶ πάντες πιστεύουσι) κ. τ. λ. *Jupiter père d'Hercule et de Tantale (comme le raconte la fable et comme tout le monde le croit)*, etc. Malgré l'incertitude où l'on est sur la nature du crime de Tantale, dont l'histoire a tant de variantes chez les différents auteurs, qui ne s'accordent que sur le châtiment que lui infligea Jupiter, on voit que ces exemples pouvaient être sérieusement invoqués chez les païens pour servir d'enseignement aux hommes. Rien n'était plus répandu, ni d'un plus fréquent usage que l'éloge d'Hercule, qui gagne l'immortalité par ses travaux.


COLUMBIA UNIVERSITY LIBRARIES
1010654933

